ΕΛΛΗΝΙΚΗΣ

# ΧΡΗΣΤΟΜΑΘΕΙΑΣ

ΤΟΜΟΣ Γ'

ΞΕΝΟΦΩΝΤΟΣ

# ΕΛΛΗΝΙΚΑ

ΒΙΒΛΙΟΝ Α' καὶ Β'

ΚΑΙ

# ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ

ΚΑΤ' ΕΚΛΟΓΗΝ

ΠΡΟΣ ΧΡΗΣΙΝ

ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ ΚΑΙ ΠΑΡΘΕΝΑΓΩΓΕΙΩΝ

ΥΠΟ

Δ. Η.ου ΚΥΡΙΑΚΟΠΟΥΛΟΥ Δ. Φ.

ΕΚΔΟΣΙΣ ΤΕΤΑΡΤΗ

ΕΝ ΑΘΗΝΑΙΣ

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ "ΑΙ ΜΟΥΣΑΙ" ΙΩΑΝΝΟΥ Ν. ΣΙΔΕΡΗ

15 — ΟΔΟΣ ΕΡΜΟΥ — 15

1907

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

1907 ΞΕΝ

# ΕΛΛΗΝΙΚΗΣ ΧΡΗΣΤΟΜΑΘΕΙΑΣ

ΤΟΜΟΣ Γ΄

ΞΕΝΟΦΩΝΤΟΣ

# ΕΛΛΗΝΙΚΑ

ΒΙΒΛΙΟΝ Α΄ καὶ Β΄

ΚΑΙ

# ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ

ΚΑΤ' ΕΚΛΟΓΗΝ

*Κατὰ τὸ πρόγραμμα καὶ τὰς ὁδηγίας τοῦ Ὑπουργείου τῆς Παιδείας*

ΠΡΟΣ ΧΡΗΣΙΝ

ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ ΚΑΙ ΠΑΡΘΕΝΑΓΩΓΕΙΩΝ

ΜΕΤΑ ΣΗΜΕΙΩΣΕΩΝ

ΥΠΟ

Δ. Η. ΚΥΡΙΑΚΟΠΟΥΛΟΥ Δ. Φ.

ΕΚΔΟΣΙΣ ΤΕΤΑΡΤΗ

ΕΚΔΟΤΗΣ

ΙΩΑΝΝΗΣ Ν. ΣΙΔΕΡΗΣ

ΕΝ ΑΘΗΝΑΙΣ

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ "ΑΙ ΜΟΥΣΑΙ" ΙΩΑΝΝΟΥ Ν. ΣΙΔΕΡΗ

15 — ΟΔΟΣ ΕΡΜΟΥ — 15

1907

PRINTED IN GREECE

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Πᾶν γνήσιον ἀντίτυπον δέον νὰ ἔχῃ ἐνταῦθα κάτωθι τὴν σφραγῖδα καὶ ὑπογραφὴν τοῦ συγγραφέως καὶ τὴν σφραγῖδα τοῦ ἐκδότου.*

Δ. Η. Κυριακόπουλος

Δ. Η. ΚΥΡΙΑΚΟΠΟΥΛΟΣ
ΚΑΘΗΓΗΤΗΣ

ΙΩΑΝΝΗΣ Ν ΣΙΔΕΡΗΣ
ΒΙΒΛΙΟΠΩΛΗΣ ΚΑΙ ΕΚΔΟΤΗΣ
ΕΝ ΑΘΗΝΑΙΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΞΕΝΟΦΩΝΤΟΣ

# ΕΛΛΗΝΙΚΑ

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

*Κεφ. Α΄. Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον* 411
*ἦλθεν ἐξ Ἀθηνῶν Θυμοχάρης ἔχων ναῦς ὀλίγας· καὶ εὐ-* π.Χ.
*θὺς ἐναυμάχησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐνίκησαν δὲ Λακεδαιμόνιοι ἡγουμένου Ἀγησανδρίδου.*
*Μετ' ὀλίγον δὲ τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου* 2
*εἰς Ἑλλήσποντον εἰσέπλει ἀρχομένου χειμῶνος τέτταρσι*

---

*Προσημείωσις.*—Παραπομπαὶ γίνονται εἰς τὴν γραμματικὴν καὶ τὸ συντακτικὸν τοῦ κ. Δ. Η. Κυριακοπούλου· χάριν δὲ συντομίας σημειοῦνται οὕτως, Συντ. § κλπ. Γραμ. § κλπ.

Κεφ. Α΄ § 1. *ταῦτα*] τὰ ἐν Θουκυδ. 8, 104. κ. ἑξ. διότι ἡ ἱστορία αὕτη εἶναι συνέχεια τῆς τοῦ Θουκυδίδου· δηλαδὴ ἀφοῦ ἐνίκησαν οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους εἰς Κυνὸς σῆμα, ἀκρωτήριον τῆς Θρακικῆς χερσονήσου ἀντικρὺ τῆς Ἀβύδου τῷ 411 π. Χ.—*αὖθις*]=πάλιν.—*ἡγουμένου*=ἔχοντες ἀρχηγόν.

§ 2. *εἰσέπλει*]=εἰσέπλευσεν· τὰ κινήσεως σημαντικὰ ῥήματα τίθενται συνήθως κατὰ παρατατ. ἀντὶ ἀορ.—*ἀρχομένου χειμῶνος*] =κατὰ τὰς ἀρχὰς τοῦ χειμῶνος, δηλ. περὶ τὸ τέλος τοῦ Σεπτεμβρ. 411 π. Χ.—*ἡμεροσκόπος*] φύλαξ σταθμεύων εἰς ὕψωμα, ἵνα κατασκοπεύῃ καὶ ἀναγγέλλῃ τὰς κινήσεις τῶν ἐχθρῶν. — *ἀνηγάγοντο*) μέσ. ἀόρ. β΄ τοῦ ἀνάγομαι=ἐκ τοῦ λιμένος ἐξέρχομαι εἰς τὸ πέλαγος· ἀντίθετον τούτου εἶναι τὸ κατάγομαι=ἀπὸ τοῦ πελάγους ἔρχομαι εἰς τὸν λιμένα.—*ὡς ἤνοιγε*]=ὅτε ἐκ τοῦ στενοῦ πορθμοῦ ἐξήρχετο ἀνοικτὰ εἰς τὸ πέλαγος. Τὸ ῥῆμα ἀνοίγω καὶ ἀνοίγνυμι ἔχει ἐνταῦθα τὴν αὐτὴν σημασίαν, ἣν καὶ εἰς τὴν ὁμιλουμένην. — *Ῥοίτειον*] ἀκρωτήριον τῆς Τροίας ἐν Ἑλλησπόντῳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ δέκα ναυσὶν ἅμα ἡμέρᾳ. Κατιδὼν δὲ ὁ τῶν Ἀθηναίων ἡμεροσκόπος ἐσήμηνε τοῖς στρατηγοῖς. Οἱ δὲ ἀνηγάγοντο ἐπ᾽ αὐτὸν εἴκοσι ναυσίν, ἃς ὁ Δωριεὺς φυγὼν πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς αὑτοῦ τριήρεις, ὡς ἤνοιγε,
3 περὶ τὸ Ῥοίτειον. Ἐγγὺς δὲ γενομένων τῶν Ἀθηναίων ἐμαχοντο ἀπό τε τῶν νεῶν καὶ τῆς γῆς μέχρι οἱ Ἀθηναῖοι ἀπέπλευσαν εἰς Μάδυτον πρὸς τὸ ἄλλο στρατόπεδον
4 οὐδὲν πράξαντες. Μίνδαρος δὲ κατιδὼν τὴν μάχην ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ ἐβοήθει ἐπὶ τὴν θάλατταν καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις ἀπέπλει, ὅπως ἀναλάβοι
5 τὰς μετὰ Δωριέως. Οἱ δὲ Ἀθηναῖοι ἀνταναγαγόμενοι ἐναυμάχησαν περὶ Ἄβυδον κατὰ τὴν ἠόνα μέχρι δείλης [ἐξ ἑωθινοῦ]. Καὶ τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων, Ἀλκι-
6 βιάδης ἐπεισπλεῖ δυοῖν δεούσαις εἴκοσι ναυσίν. Ἐντεῦθεν δὲ φυγὴ τῶν Πελοποννησίων ἐγένετο πρὸς τὴν Ἄβυδον. καὶ ὁ Φαρνάβαζος παρεβοήθει καὶ ἐπεισβαίνων τῷ ἵππῳ εἰς τὴν θάλατταν, μέχρι δυνατὸν ἦν, ἐμάχετο καὶ τοῖς

---

§ 3. *Μάδυτος*) πόλις τῆς Θρακικῆς χερσονήσου ἐν Ἑλλησπόντῳ νῦν *Μαΐτο*..

§ 4. *Μίνδαρος*] ναύαρχος τῶν Λακεδαιμονίων.—*καθελκύσας*] ῥίψας ἐκ τῆς ξηρᾶς εἰς τὴν θάλασσαν τὰ πλοῖα· τὸ ἀντίθετον τοῦ καθέλκω εἶναι ἀναβιβάζω ἢ ἀνέλκω.—*ὅπως ἀναλάβοι*]=ἵνα λάβῃ εἰς τὰς διαταγάς του. Ἰδὲ συντακτ. § 55.

§ 5. *Ἄβυδος*] πόλις τῆς Τροίας ἐν Ἑλλησπόντῳ.—*κατὰ τὴν ἠόνα*] ἠὼν καὶ ἠϊὼν (=αἰγιαλός) λέξις ποιητική.—*μέχρι δείλης ἐξ ἑωθινοῦ*] κατὰ πρωθύστερον σχῆμα ἀντὶ ἐξ ἑωθινοῦ μέχρι δείλης· καὶ τὸ μὲν ἐξ ἑωθ. σημαίνει ἀρχὴν χρόνου, τὸ δὲ μέχρι δείλης τὸ τέλος (Ἰδὲ συντ. § 26).—*τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων*] ἐνῷ ἄλλοτε μὲν ἐνίκων, ἄλλοτε δὲ ἐνικῶντο, δηλ. ἡ μάχη ἦν ἰσόῤῥοπος.—*ἐπεισπλεῖ*]=ἐπεισέπλευσεν· ὁ ἐνεστ. ἱστορικός.—*δυοῖν δεούσαις εἴκοσι*] μὲ εἴκοσι παρὰ δύο ἤτοι 18· ἰδὲ γραμμτ. 47. 7, σημ. 2.

§ 7. *φυγὴ τῶν Πελοπον. ἐγένετο*]=ἔφυγον οἱ Πελοπον. ἐτράπησαν εἰς φυγήν· ἡ γεν. ὑποκειμενική (συντακτ. § 19, 1, ε').—*Φαρνάβαζος*] Πέρσης σατράπης τῆς Φρυγίας.—*μέχρι δυνατὸν ἦν*] ἐννοεῖται ἐπεισβαίνειν. τὸ μέχρι τοπικὸν ἐνταῦθα.—*παρεκελεύετο*] ἐννοεῖται μάχεσθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλοις τοῖς αὐτοῦ ἱππεῦσι καὶ πεζοῖς παρεκελεύετο. Συμ- 7
φράξαντες δὲ τὰς ναῦς οἱ Πελοποννήσιοι καὶ παραταξά-
μενοι πρὸς τῇ γῇ ἐμάχοντο. Ἀθηναῖοι δὲ ἀπέπλευσαν,
τριάκοντα ναῦς τῶν πολεμίων λαβόντες κενὰς καὶ ἃς
αὐτοὶ ἀπώλεσαν κομισάμενοι, εἰς Σηστόν. Ἐντεῦθεν 8
πλὴν τετταράκοντα νεῶν ἄλλαι ἄλλῃ ᾤχοντο ἐπ' ἀργυρο-
λογίαν ἔξω τοῦ Ἑλλησπόντου· καὶ ὁ Θράσυλλος εἷς ὢν
τῶν στρατηγῶν εἰς Ἀθήνας ἔπλευσε ταῦτα ἐξαγγελῶν
καὶ στρατιὰν καὶ ναῦς αἰτήσων. Μετὰ δὲ ταῦτα Τισσα- 9
φέρνης ἦλθεν εἰς Ἑλλήσποντον· ἀφικόμενον δὲ παρ'
αὐτὸν μιᾷ τριήρει Ἀλκιβιάδην ξένιά τε καὶ δῶρα ἄγοντα
συλλαβὼν εἷρξεν ἐν Σάρδεσι φάσκων κελεύειν βασιλέα
πολεμεῖν Ἀθηναίοις. Ἡμέραις δὲ τριάκοντα ὕστερον 10
Ἀλκιβιάδης ἐκ Σάρδεων μετὰ Μαντιθέου τοῦ ἁλόντος
ἐν Καρίᾳ ἵππων εὐπορήσαντες νυκτὸς ἀπέδρασαν εἰς

---

§ 7. *συμφράξαντες*]=ἐπεὶ συνέφραξαν, δηλ. συνεπύκνωσαν τὰς ναῦς καὶ οἱονεὶ φραγμὸν ἐποίησαν.—*πρὸς τῇ γῇ*] πλησίον τῆς ξηρᾶς· ἀναφέρεται καὶ εἰς τὸ παραταξάμενοι καὶ εἰς τὸ ἐμάχοντο.—*ἀπέπλευσαν...εἰς Σηστόν*]=ἀποπλεύσαντες ἐκεῖθεν ἔπλευσαν εἰς Σηστόν.—*Σηστός*] πόλις τῆς Θρακικῆς χερσονήσου ἐν Ἑλλησπόντῳ ἀντικρὺ τῆς Ἀβύδου· ἐκεῖ πλησίον κατεσκεύασε τὴν γέφυραν ὁ Ξέρξης.—*ἀπώλεσαν*]=ἀπωλωλέκεσαν τοῦ ἀπόλλυμι.—*κομισάμενοι*] λαβόντες πάλιν· κομίζω=φέρω, κομίζομαι =κομίζω ἐμαυτῷ, λαμβάνω.

§ 8. *ᾤχοντο*] ἰδὲ συντακτ. § 37, 2, σημ. 1.—*ἐπ' ἀργυρολογίαν*] πρὸς εἴσπραξιν χρημάτων.—*Θράσυλλος*] στρατηγὸς τῶν Ἀθηναίων· ἰδὲ κεφ. 7.—*ἐξαγγελῶν—αἰτήσων*] ἵνα ἐξαγγείλῃ καὶ ζητήσῃ· συντακτ. § 45. γ'.

§ 9. *Τισσαφέρνης*] Πέρσης σατράπης τῆς Λυδίας καὶ Ἰωνίας.—*ξένια καὶ δῶρα*] συνώνυμα· ξένια=δῶρα τρόφιμα, ὡς βόες, ἄλφιτα, οἶνος, δῶρα δὲ ἄλλα πράγματα, ὡς ὅπλα, ἐκπώματα, τρίποδες κτλ.

§ 10. *τοῦ ἁλόντος*] ἁλοὺς ἀόρ. τοῦ ἁλίσκομαι=συλλαμβάνομαι, κυριεύομαι (ἰδὲ συντακτ. § 35, σημ. 3 γραμματ. § 88, 7).—*ἀπέδρασαν*] ὑποκείμ. Ἀλκιβιάδης μετὰ Μαντιθέου=Ἀλκιβ. καὶ Μαντίθ. τὸ ῥῆμα ἀποδιδράσκω=δραπετεύω (ἰδὲ γραμματ. § 88).—*Κλαζομεναί*] πόλις τῆς Ἰωνίας εἰς τὸν κόλπον τῆς Σμύρνης.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

11 Κλαζομενάς. Οἱ δ' ἐν Σηστῷ Ἀθηναῖοι αἰσθόμενοι Μίνδαρον πλεῖν ἐπ' αὐτοὺς μέλλοντα ναυσὶν ἑξήκοντα νυκτὸς ἀπέδρασαν εἰς Καρδίαν. Ἐνταῦθα δὲ καὶ Ἀλκιβιάδης ἧκεν ἐκ τῶν Κλαζομενῶν σὺν πέντε τριήρεσι καὶ ἐπακτρίδι. Πυθόμενος δέ, ὅτι αἱ τῶν Πελοποννησίων νῆες ἐξ Ἀβύδου ἀνηγμέναι εἶεν εἰς Κύζικον, αὐτὸς μὲν πεζῇ
12 ἦλθεν εἰς Σηστόν, τὰς δὲ ναῦς περιπλεῖν ἐκεῖσε ἐκέλευσεν. Ἐπεὶ δ' ἦλθον, ἀνάγεσθαι ἤδη αὐτοῦ μέλλοντος ὡς ἐπὶ ναυμαχίαν ἐπεισπλεῖ Θηραμένης εἴκοσι ναυσὶν ἀπὸ Μακεδονίας, ἅμα δὲ καὶ Θρασύβουλος εἴκοσιν ἑτέραις ἐκ
13 Θάσου, ἀμφότεροι ἠργυρολογηκότες. Ἀλκιβιάδης δὲ εἰπὼν καὶ τούτοις διώκειν αὐτὸν ἐξελομένοις τὰ μεγάλα ἱστία αὐτὸς ἔπλευσεν εἰς Πάριον· ἀθρόαι δὲ γενόμεναι αἱ νῆες ἅπασαι ἐν Παρίῳ ἓξ καὶ ὀγδοήκοντα τῆς ἐπιούσης νυκτὸς ἀνηγάγοντο καὶ τῇ ἄλλῃ ἡμέρᾳ περὶ ἀρίστου ὥραν ἧκον
14 εἰς Προκόννησον. Ἐκεῖ δ' ἐπύθοντο, ὅτι Μίνδαρος ἐν Κυ-

---

§ 11. *Καρδία*] πόλις τῆς Θρακικῆς χερσονήσου ἐν τῷ Μέλανι κόλπῳ. —*ἧκεν*] ἰδὲ συντκτ. § 37, 2, σημ. 1.—*ἐπακτρίς*] ἐκ τοῦ ἐπὶ ἀκτή, πλοῖον μικρὸν ταχὺ τῆς παραλίας.—*πυθόμενος*] ἀόρ. 6' τοῦ πυνθάνομαι.—*ἀνηγμέναι εἶεν*] ἀνάγομαι ἰδὲ συντ. § 51.—*Κύζικος*] πόλις τῆς Ἀσίας ἐν τῇ Προποντίδι·—*πεζῇ*] διὰ ξηρᾶς.—*ἐκεῖσε*] εἰς Σηστόν.

§ 12. *αὐτοῦ μέλλοντος*] Ἀλκιβ. ἰδὲ συντ. § 46, α'.—*Θηραμένης*] στρατηγὸς τῶν Ἀθηναίων γενόμενος εἰς τῶν 30 τυράννων, ὑπὸ τῶν ὁποίων ὕστερον ἐθανατώθη.—*Θρασύβουλος*] στρατηγὸς τῶν Ἀθηναίων ὁ καταλύσας τοὺς 30 τυράννους καὶ ἐλευθερώσας τὰς Ἀθήνας.—*Θάσος*] νῆσος ἀντικρὺ τῆς Θράκης.

§ 13. *διώκειν*] ν' ἀκολουθῶσιν.—*ἐξελομένοις*] ἀόρ. 6' τοῦ ἐξαιροῦμαι (ἀφαιρῶ).—*Πάριον*] πόλις εἰς τὴν εἴσοδον τῆς Προποντίδος ἐν Ἀσίᾳ.—*περὶ ἀρίστου ὥραν*] περίπου τὴν ὥραν τοῦ προγεύματος, δηλ. περὶ τὴν μεσημβρίαν. Ἀκράτισμα τὸ πρωϊνὸν φαγητὸν (ἄρτος μετ' ἀκράτου οἴνου), ἄριστον φαγητὸν τῆς μεσημβρίας, καὶ δεῖπνον φαγητὸν τῆς ἑσπέρας —*Προκόννησος*] νῆσος ἐν τῇ Προποντίδι, τώρα λέγεται τοῦ Μαρμαρᾶ.

§ 14. *αὐτοῦ*] ἐπίρρημα τοπικόν.—*αὐτοῖς*] δηλ. τοῖς στρατιώταις, τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζίκῳ εἴη καὶ Φαρνάβαζος μετὰ τοῦ πεζοῦ. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ἔμειναν, τῇ δὲ ὑστεραίᾳ Ἀλκιβιάδης ἐκκλησίαν ποιήσας παρεκελεύετο αὐτοῖς, ὅτι ἀνάγκη εἴη καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν καὶ τοιχομαχεῖν. Οὐ γὰρ ἔστιν, ἔφη, χρήματα ἡμῖν, τοῖς δὲ πολεμίοις ἄφθονα
παρὰ βασιλέως. Τῇ δὲ προτεραίᾳ, ἐπειδὴ ὡρμίσαντο, τὰ 15
πλοῖα πάντα καὶ τὰ μικρὰ συνήθροισε παρ' ἑαυτόν, ὅπως μηδεὶς ἐξαγγείλαι τοῖς πολεμίοις τὸ πλῆθος τῶν νεῶν, ἐπεκήρυξέ τε, ὃς ἂν ἁλίσκηται εἰς τὸ πέραν διαπλέων, θάνατον τὴν ζημίαν. Μετὰ δὲ τὴν ἐκκλησίαν παρασκευασά- 16
μενος ὡς ἐπὶ ναυμαχίαν ἀνηγάγετο ἐπὶ τὴν Κύζικον ὕοντος πολλῷ. Ἐπειδὴ δ' ἐγγὺς τῆς Κυζίκου ἦν, αἰθρίας γενομένης καὶ τοῦ ἡλίου ἐκλάμψαντος καθορᾷ τὰς τοῦ Μινδάρου ναῦς γυμναζομένας πόῤῥω ἀπὸ τοῦ λιμένος καὶ ἀπειλημμένας ὑπ' αὐτοῦ ἑξήκοντα οὔσας. Οἱ δὲ Πελοπον- 17
νήσιοι ἰδόντες τὰς τῶν Ἀθηναίων τριήρεις οὔσας πλείους τε πολλῷ ἢ πρότερον καὶ πρὸς τῷ λιμένι ἔφυγον εἰς τὴν γῆν· καὶ συνορμίσαντες τὰς ναῦς ἐμάχοντο ἐπιπλέουσι τοῖς ἐναντίοις. Ἀλκιβιάδης δὲ ταῖς εἴκοσι τῶν νεῶν περιπλεύ- 18

---

ὁποῖον ἐννοεῖται ἐκ τοῦ προηγουμένου ἐκκλησίαν· σχῆμα κατὰ σύνεσιν.— *οὐ γὰρ ἔστι χρήματα ἡμῖν*] συντακτ. § 14, σημ.

§ 15. *τῇ προτεραίᾳ*] ἡμέρᾳ· ἀντίθετον τῇ ὑστεραίᾳ.—*ἐπειδὴ ὡρμίσαντο*] ἀφοῦ ἐμβῆκαν εἰς τὸν λιμένα τῆς Προκοννήσου.—*καὶ τὰ μικρά*] ἀκόμη καὶ τὰ μικρὰ καὶ ὄχι μόνον τὰ μεγάλα.—*ὅπως μηδεὶς ἐξαγγείλαι*] εὐκτική· ἰδὲ συντακτ. § 55.—*ὃς ἂν ἁλίσκηται*] συντακτ. § 52, 3—*εἰς τὸ πέραν*] εἰς Κύζικον.—*ζημία*] τιμωρία, ποινή.

§ 16. *ὕοντος πολλῷ*] ὕει=βρέχει· ἐνῷ ἔβρεχε πολύ.—*ἀπειλημμένας*] τοῦ ἀπολαμβάνομαι=ἀποχωρίζομαι· καὶ ἦσαν ἀποκεχωρισμέναι ἀπὸ αὐτόν, διότι ἐκεῖναι μὲν ἦσαν μακρὰν τοῦ λιμένος, ὁ δὲ Ἀλκιβ. μεταξὺ αὐτῶν καὶ τοῦ λιμένος.

§ 17. *ἢ πρότερον*] παρὰ πρὶν ἔλθῃ ὁ Ἀλκιβ. ὁ Θηραμένης καὶ ὁ Θρασύβουλος·—*συνορμίσαντες*]=συμπυκνώσαντες.

§ 18. *ἰδών*] ὅτι ὁ Ἀλκιβ. ἀπέβη εἰς τὴν γῆν.—*ἐν τῇ γῇ*]=ἀποβὰς εἰς τὴν γῆν μαχόμενος ἐν τῇ γῇ ἀπέθανεν.—*ᾤχοντο ἄγοντες*] συντακτ. § 45, β΄, 2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σας ἀπέβη εἰς τὴν γῆν. Ἰδὼν δὲ ὁ Μίνδαρος καὶ αὐτὸς
ἀποβὰς ἐν τῇ γῇ μαχόμενος ἀπέθανεν· οἱ δὲ μετ' αὐτοῦ
ὄντες ἔφυγον. Τὰς δὲ ναῦς οἱ Ἀθηναῖοι ᾤχοντο ἄγοντες
ἁπάσας εἰς Προκόννησον πλὴν τῶν Συρακοσίων· ἐκείνας
δὲ αὐτοὶ κατέκαυσαν οἱ Συρακόσιοι. Ἐκεῖθεν δὲ τῇ ὑστε-
19 ραίᾳ ἔπλεον οἱ Ἀθηναῖοι ἐπὶ Κύζικον. Οἱ δὲ Κυζικηνοὶ
τῶν Πελοποννησίων καὶ Φαρναβάζου ἐκλιπόντων αὐτὴν
20 ἐδέχοντο τοὺς Ἀθηναίους, Ἀλκιβιάδης δὲ μείνας αὐτοῦ
εἴκοσιν ἡμέρας καὶ χρήματα πολλὰ λαβὼν παρὰ τῶν Κυ-
ζικηνῶν οὐδὲν ἄλλο κακὸν ἐργασάμενος ἐν τῇ πόλει ἀπέ-
πλευσεν εἰς Προκόννησον. Ἐκεῖθεν δ' ἔπλευσεν εἰς Πέ-
21 ρινθον καὶ Σηλυμβρίαν. Καὶ Περίνθιοι μὲν εἰσεδέξαντο
εἰς τὸ ἄστυ τὸ στρατόπεδον· Σηλυμβριανοὶ δὲ ἐδέξαντο μὲν
22 οὔ, χρήματα δὲ ἔδοσαν. Ἐντεῦθεν δ' ἀφικόμενοι τῆς
Καλχηδονίας εἰς Χρυσόπολιν ἐτείχισαν αὐτὴν καὶ δεκα-
τευτήριον κατεσκεύασαν ἐν αὐτῇ καὶ τὴν δεκάτην ἐξέλεγον
τῶν ἐκ τοῦ Πόντου πλοίων καὶ φυλακὴν ἐγκαταλιπόντες
ναῦς τριάκοντα καὶ στρατηγὼ δύο, Θηραμένην καὶ Εὔ-
μαχον, τοῦ τε χωρίου ἐπιμελεῖσθαι καὶ τῶν ἐκπλεόντων
πλοίων καὶ εἴ τι ἄλλο δύναιντο βλάπτειν τοὺς πολεμίους.
23 Οἱ δ' ἄλλοι στρατηγοὶ εἰς τὸν Ἑλλήσποντον ᾤχοντο. Παρὰ
δὲ Ἱπποκράτους τοῦ Μινδάρου ἐπιστολέως εἰς Λακεδαί-

---

§ 19. *αὐτὴν*] τὴν Κύζικον.

§ 20. *Πέρινθος καὶ Σηλυμβρία*] πόλεις τῆς Θρᾴκης ἐν τῇ Προποντίδι.

§ 22. *εἰς Χρυσόπολιν τῆς Καλχηδονίας*] πόλις ἐν τῷ Βοσπόρῳ ἀντικρὺ τοῦ Βυζαντίου· νῦν λέγεται Σκούταρι.—*δεκατευτήριον*] οἰκοδόμημα, εἰς τὸ ὁποῖον ἐναπεταμιεύετο ἡ *δεκάτη*, ἥτις ἦτο φόρος πληρωνόμενος ὑπὸ τῶν πλοίων —*ἐξέλεγον*] ἐλάμβανον, εἰσέπραττον.—*Θηραμένην καὶ Εὔμαχον*] συντ. 18, 2, 6'.—*εἴ τι ἄλλο βλάπτειν*] συντ. 12. 6.

§ 23. *ἐπιστολεύς*] καὶ *ἐπιστολιαφόρος* ἐλέγετο ὁ ὑποναύαρχος τῶν Σπαρτιατῶν.—*γράμματα*]=γράμμα, ἐπιστολή.—*ἑάλωσαν εἰς Ἀθήνας*]= ἁλόντα ἐκομίσθησαν εἰς Ἀθήνας.—*Ἔρρει - δρᾶν*] ἐπιστολὴ ἀξιόλογος διὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μονα γράμματα πεμφθέντα ἑάλωσαν εἰς Ἀθήνας λέγοντα τάδε· «Ἔῤῥει τὰ κᾶλα. Μίνδαρος ἀπεσσύα. Πεινῶντι τὤνδρες. Ἀπορίομες. τί χρὴ δρᾶν». Φαρνάβαζος δὲ παντὶ 24
τῷ τῶν Πελοποννησίων στρατεύματι καὶ τοῖς συμμάχοις παρακελευσάμενος μὴ ἀθυμεῖν ἕνεκα ξύλων ὡς ὄντων πολλῶν ἐν τῇ βασιλέως, ἕως ἂν τὰ σώματα σᾶ ᾖ, ἱμάτιόν τ' ἔδωκεν ἑκάστῳ καὶ ἐφόδιον δυοῖν μηνοῖν καὶ ὁπλίσας τοὺς ναύτας φύλακας κατέστησε τῆς ἑαυτοῦ παραθαλαττίας γῆς.
Καὶ συγκαλέσας τούς τε ἀπὸ τῶν πόλεων στρατηγοὺς καὶ 25
τριηράρχους ἐκέλευε ναυπηγεῖσθαι τριήρεις ἐν Ἀντάνδρῳ, ὅσας ἕκαστοι ἀπώλεσαν, χρήματά τε διδοὺς καὶ ὕλην ἐκ τῆς Ἴδης κομίζεσθαι φράζων. Ναυπηγουμένων δὲ οἱ Συ- 26
ρακόσιοι ἅμα τοῖς Ἀντανδρίοις τοῦ τείχους τι ἐπετέλεσαν καὶ ἐν τῇ φρουρᾷ ἤρεσαν πάντων μάλιστα. Διὰ ταῦτα δὲ εὐεργεσία τε καὶ πολιτεία Συρακοσίοις ἐν Ἀντάνδρῳ ἐστί. Φαρνάβαζος μὲν οὖν ταῦτα διατάξας εὐθὺς εἰς Καλχηδόνα ἐβοήθει.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ ἠγγέλθη τοῖς τῶν Συρακοσίων 27

---

τὸ λακωνικὸν ὕφος.—*Ἔῤῥει*]=ἀπόλωλε, ἐχάθησαν.—*τά κᾶλα*] λακωνικῶς τὰ ξύλα, δηλ. τὰ πλοῖα· ἐν τῇ ὁμιλουμένῃ *καλαπόδι*·—*ἀπεσσύα*] ἀόρ. 6' παθ. τοῦ ἀποσσοῦμαι (ἀττ. ἀποσεύομαι)· ὁ Μίνδαρος πάει, δηλ. ἐφονεύθη.—*πεινῶντι*] δωρικῶς=πεινῶσιν.—*τὤνδρες*]=τοὶ ἄνδρες δωρικῶς ἀντὶ οἱ ἄνδρες.—*ἀπορίομες*] δωρικῶς=ἀποροῦμεν.—*δρᾶν*] ῥ. δράω—ῶ=πράττω.

§ 24. *ἕνεκα ξύλων*] τῶν πλοίων, τὰ ὁποῖα ἔχασαν.—*ἐν τῇ βασιλέως*] ἐννοεῖται χώρᾳ.—*ἕως ἂν*] ἐφ' ὅσον, ἀφοῦ τὰ σώματα.—*σᾶ*]=σῶα γραμματ. § 36, ζ'

§ 25. *Ἄντανδρος*] πόλις τῆς Τρῳάδος ἐν τῷ Ἀδραμυττικῷ κόλπῳ.—*ὕλην*] ξυλείαν.—*Ἴδη*] ὄρος τῆς Τροίας ἄλλο ἀπὸ τὴν Ἴδην τῆς Κρήτης.

§ 26. *ναυπηγουμένων*] ἐνν. αὐτῶν.—*ἐν τῇ φρουρᾷ*] ἐν καιρῷ τῆς φρουρᾶς, καθ' ὃν χρόνον ἐφρούρουν τὴν Ἄντανδρον.—*εὐεργεσία καὶ πολιτεία Συρακοσίοις ἐν Ἀντάνδρῳ ἐστίν*] οἱ Ἀντάνδριοι ἐκήρυξαν πρὸς τιμὴν τοὺς Συρακοσίους εὐεργέτας καί πολίτας.—*Καλχηδών*[ ἢ Χαλκηδὼν πόλις ἀντικρὺ τοῦ Βυζαντίου, νῦν Καδήκιοϊ.

§ 27. *ὅτι φεύγοιεν ὑπὸ τοῦ δήμου*] ὅτι ἐξωρίσθησαν ὑπὸ τοῦ λαοῦ· ἰδὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στρατηγοῖς οἴκοθεν, ὅτι φεύγοιεν ὑπὸ τοῦ δήμου. Συγκαλέσαντες οὖν τοὺς ἑαυτῶν στρατιώτας Ἑρμοκράτους προηγοροῦντος ἀπωλοφύροντο τὴν ἑαυτῶν συμφοράν, «ὡς ἀδίκως φεύγοιεν ἅπαντες παρὰ τὸν νόμον, παρήνεσάν τε προθύμους εἶναι καὶ τὰ λοιπά, ὥσπερ τὰ πρότερα, καὶ ἄνδρας ἀγαθοὺς πρὸς τὰ ἀεὶ παραγγελλόμενα μεμνημένους, ὅσας τε ναυμαχίας αὐτοὶ καθ᾽ αὑτοὺς νενικήκατε καὶ ναῦς εἰλήφατε, ὅσα τε μετὰ τῶν ἄλλων ἀήττητοι γεγόνατε ἡμῶν ἡγουμένων τάξιν ἔχοντες τὴν κρατίστην διά τε τὴν ἡμετέραν ἀρετὴν καὶ διὰ τὴν ὑμετέραν προθυμίαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπάρχουσαν· ἑλέσθαι δ᾽ ἐκέλευον ἄρ-
28 χοντας, μέχρι ἂν ἀφίκωνται οἱ ᾑρημένοι ἀντ᾽ ἐκείνων. Οἱ δ᾽ ἀναβοήσαντες ἐκέλευον ἐκείνους ἄρχειν καὶ μάλιστα οἱ τριήραρχοι καὶ οἱ ἐπιβάται καὶ οἱ κυβερνῆται. Οἱ δ᾽ οὐκ ἔφασαν δεῖν στασιάζειν πρὸς τὴν ἑαυτῶν πόλιν· εἰ δέ τις
29 ἐπικαλοίη τι αὐτοῖς, λόγον ἔφασαν χρῆναι διδόναι. Οὐδενὸς δὲ οὐδὲν ἐπαιτιωμένου, δεομένων ἔμειναν, ἕως ἀφίκοντο οἱ ἀντ᾽ ἐκείνων στρατηγοί, Δήμαρχός τε Ἐπικύδου

---

συντ. § 51.—Ἑρμοκράτης] Συρακόσιος στρατηγός.—*προηγοροῦντος*] λαβόντος τὸν λόγον ἐν ὀνόματι ὅλων τῶν ἄλλων.—*ὡς ἀδίκως φεύγοιεν*] ἐνν. λέγοντες.—*καὶ τὰ λοιπά*] ἐπίῤῥ. ὥσπερ τὰ πρότερα, οὕτω καὶ τὰ λοιπά.—*ἀεὶ*] ἑκάστοτε.—*αὐτοὶ καθ᾽ αὑτούς*]=καθ᾽ ὑμᾶς αὐτούς, μόνοι σας.—*μέχρι ἂν ἀφίκωνται*] συντ. § 53.—*ἀντ᾽ ἐκείνων*] ἀνθ᾽ ἑαυτῶν.

§ 28. *τριήραρχοι*] οἱ πολῖται οἱ διατηροῦντες ἓν πλοῖον δι᾽ ἰδίων ἐξόδων·—*ἐπιβάται*] στρατιῶται ναυτικοί.—*οὐκ ἔφασαν δεῖν*] καθ᾽ ἕλξιν ἀντὶ ἔφασαν οὐ δεῖν.—*εἰ δέ τις ἐπικαλοίη τι αὐτοῖς*] ἐὰν δέ τις ἐκατηγόρει εἴς τι αὐτούς.—*χρῆναι*] ἀπαρέμφ. τοῦ χρή· ὅτι ἔπρεπε, ἦσαν πρόθυμοι.

§ 29. *οὐδὲν ἐπαιτιωμένου*]=οὐδεμίαν αἰτίαν ἐπαιτιωμένου· ἐπειδὴ δὲ οὐδεὶς οὐδεμίαν κατηγορίαν ἐκατηγόρει αὐτούς.—*δεομένων*] ἐνν. αὐτῶν, δηλ. τῶν στρατιωτῶν.—*κατάξειν*] κατάγω=ἐπαναφέρω ἐκ τῆς ἐξορίας, τὸ δὲ κατέρχομαι=ἐπανέρχομαι ἐκ τῆς ἐξορίας, τὸ δὲ οὐσ. *κάθοδος*=ἐπιστροφὴ ἐκ τῆς ἐξορίας.—*Συράκουσαι*] ἡ ἐπισημοτέρα πόλις τῆς Σικελίας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ Μύσκων Μενεκράτους καὶ Πόταμις Γνώσιος. Τῶν δὲ τριηράρχων ὀμόσαντες οἱ πλεῖστοι κατάξειν αὐτούς, ἐπὰν εἰς Συρακούσας ἀφίκωνται, ἀπεπέμψαντο ὅποι ἐβούλοντο, πάντας ἐπαινοῦντες· ἰδίᾳ δὲ οἱ πρὸς Ἑρμοκρά- 30 την προσομιλοῦντες μάλιστα ἐπόθησαν τήν τε ἐπιμέλειαν καὶ προθυμίαν καὶ κοινότητα. Ὧν γὰρ ἐγίγνωσκε τοὺς ἐπιεικεστάτους καὶ τριηράρχων καὶ κυβερνητῶν καὶ ἐπιβατῶν, ἑκάστης ἡμέρας πρῴ καὶ πρὸς ἑσπέραν συναλίζων πρὸς τὴν σκηνὴν τὴν ἑαυτοῦ ἀνεκοινοῦτο, ὅ,τι ἔμελλεν ἢ λέγειν ἢ πράττειν, κἀκείνους ἐδίδασκε κελεύων λέγειν τὰ μὲν ἀπὸ τοῦ παραχρῆμα, τὰ δὲ βουλευσαμένους. Ἐκ τού- 31 των Ἑρμοκράτης τὰ πολλὰ ἐν τῷ συνεδρίῳ ηὐδόξει λέγειν τε δοκῶν καὶ βουλεύειν τὰ κράτιστα. [Κατηγορήσας δὲ Τισσαφέρνους ἐν Λακεδαίμονι Ἑρμοκράτης μαρτυροῦντος καὶ Ἀστυόχου καὶ δόξας τὰ ὄντα λέγειν ἀφικόμενος παρὰ Φαρνάβαζον, πρὶν αἰτῆσαι, χρήματα λαβὼν παρεσκευάζετο πρὸς τὴν εἰς Συρακούσας κάθοδον ξένους τε καὶ τριήρεις]. Ἐν τούτῳ δὲ ἧκον οἱ διάδοχοι τῶν Συρακοσίων εἰς Μίλητον καὶ παρέλαβον τὰς ναῦς καὶ τὸ στράτευμα.

Ἐν Θάσῳ δὲ κατὰ τὸν καιρὸν τοῦτον στάσεως γενο- 32 μένης ἐκπίπτουσιν οἱ λακωνισταὶ καὶ ὁ Λάκων ἁρμοστὴς

---

§ 30. *προσομιλοῦντες*] συναναστρεφόμενοι. — *τὴν ἐπιμέλειαν κλπ.*] ἐννοεῖται αὐτοῦ· δηλ. ἐπόθησαν αὐτὸν διὰ τὴν ἐπιμέλειαν κλπ.—*ὧν*] καθ' ἕλξιν ἀντὶ οὕς.—*συναλίζων*] συναθροίζων.—*ἀνεκοινοῦτο*]=ἐκοινοποίει ἐκ τοῦ κοινός.—*ἀπὸ τοῦ παραχρῆμα*] ἐκ τοῦ προχείρου, ἀμέσως οὗ ἀντίθετον εἶναι τὸ κατωτέρω *βουλευσαμένους*=μετὰ σκέψιν καὶ οὐχὶ ἀμέσως.

§ 31. *ἐκ τούτων*] διὰ ταῦτα.—*τὰ πολλὰ*] ἐπίρρημα· τὰς περισσοτέρας φοράς.—*τὰ ὄντα*] ἀληθινά.—*πρὸς τὴν κάθοδον*] διὰ τὴν ἐπιστροφήν του.—*ἐν τούτῳ*] ἐνν. τῷ χρόνῳ· ἐν τῷ μεταξύ.—*οἱ διάδοχοι*] τῶν Συρακοσίων στρατηγῶν.

§ 32. *ἐκπίπτουσιν*] ἐξορίζονται· τὸ ἐνεργ. *ἐκβάλλω*.—*οἱ λακωνισταὶ*]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐτεόνικος. Καταιτιαθεὶς δὲ ταῦτα πρᾶξαι σὺν Τισσαφέρ-
νει Πασιππίδας ὁ Λάκων ἔφυγεν ἐκ Σπάρτης· ἐπὶ δὲ τὸ
ναυτικόν, ὃ ἐκεῖνος ἠθροίκει ἀπὸ τῶν συμμάχων, ἐξεπέμ-
33 φθη Κρατησιππίδας καὶ παρέλαβεν ἐν Χίῳ. Περὶ δὲ
τούτους τοὺς χρόνους Θρασύλλου ἐν Ἀθήναις ὄντος Ἆγις
ἐκ τῆς Δεκελείας προνομὴν ποιούμενος πρὸς αὐτὰ τὰ
τείχη ἦλθε [τῶν Ἀθηναίων]· Θράσυλλος δὲ ἐξαγαγὼν
Ἀθηναίους καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ πόλει ὄντας ἅπαν-
τας παρέταξε παρὰ τὸ Λύκειον [γυμνάσιον] ὡς μαχού-
34 μενος, ἂν προσίωσιν. Ἰδὼν δὲ ταῦτα Ἆγις ἀπήγαγε τα-
χέως καί τινες αὐτῶν ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν ψιλῶν
ἀπέθανον. Οἱ οὖν Ἀθηναῖοι τῷ Θρασύλλῳ διὰ ταῦτα
ἔτι προθυμότεροι ἦσαν, ἐφ' ἃ ἧκε, καὶ ἐψηφίσαντο ὁπλί-
τας τε αὐτὸν καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατόν,
35 τριήρεις δὲ πεντήκοντα. Ἆγις δὲ ἐκ τῆς Δεκελείας ἰδὼν
πλοῖα πολλὰ σίτου εἰς Πειραιᾶ καταθέοντα οὐδὲν ὄφελος

---

οἱ ὄντες μὲ τὸ κόμμα τῶν Λακεδαιμονίων. — *ἔφυγεν*] ἐξωρίσθη. — *ἐπὶ τὸ ναυτικόν*] εἰς τὴν διοίκησιν τοῦ ναυτικοῦ. — *Κρατησιππίδας*] ναύαρχος τῶν Λακεδαιμονίων.

§ 33. *Ἆγις*] βασιλεὺς τῆς Σπάρτης. — *Δεκέλεια*] κώμη καὶ δῆμος τῆς Ἀττικῆς πρὸς βορρᾶν. νῦν *Τατόϊ*. — *προνομὴν ποιούμενος*]=προνομεύων· κάμνων ἐκδρομὴν μετὰ στρατιωτῶν καὶ διαρπάζων τὰ τῆς χώρας. — *καὶ τοὺς ἄλλους ἅπαντας*] τοὺς μετοίκους καὶ τοὺς ξένους. — *τὸ Λύκειον γυμνάσιον*] πρὸς ἀνατολὰς τῶν Ἀθηνῶν πλησίον τοῦ Ἰλισσοῦ. — *ὡς μαχούμενος*] ἔχων σκοπὸν νὰ συνάψῃ μάχην. — *ἂν προσίωσιν*] προσέρχομαι ἰδὲ συντ. § 57, 1, β'.

§ 34. *ἀπήγαγε*] ἀπεμακρύνθη. — *τῶν ἐπὶ πᾶσιν*] τῶν ὄπισθεν πάντων τεταγμένων, τῶν ὀπισθοφυλάκων. — *ψιλοί*] ἐνν. ὅπλων, οἱ ἐλαφρῶς ὡπλισμένοι στρατιῶται. — *ἐφ' ἃ ἧκε*] δι' ἐκεῖνα, διὰ τὰ ὁποῖα εἶχεν ἔλθῃ. — *καταλέξασθαι*] νὰ στρατολογήσῃ· ὅθεν καὶ κατάλογος. — *τριήρεις δὲ πεντήκοντα*] καὶ τοῦτο ἀντικείμ. τοῦ καταλέξασθαι, ὅπερ ἐνταῦθα κατὰ ζεῦγμα =λαβεῖν.

§ 35. *πλοῖα*] ἢ στρογγύλαι νῆες ἐλέγοντο τὰ ἐμπορικά, τριήρεις δὲ ἢ *μακραὶ* νῆες ἢ *ταχε ι* τὰ πολεμικά. — *σίτου*] σσντ. § 19, 1, γ'. — *εἰ μή*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔφη εἶναι τοὺς μετ᾿ αὐτοῦ πολὺν ἤδη χρόνον Ἀθηναίους εἴργειν τῆς γῆς, εἰ μή τις σχήσοι καὶ ὅθεν ὁ κατὰ θάλατταν σῖτος φοιτᾷ· κράτιστόν τε εἶναι [καὶ] Κλέαρχον τὸν Ραμφίου πρόξενον ὄντα Βυζαντίων πέμψαι εἰς Καλχηδόνα τε καὶ Βυζάντιον. Δόξαντος δὲ τούτου, πληρω- 36
θεισῶν νεῶν ἔκ τε Μεγάρων καὶ παρὰ τῶν ἄλλων συμμάχων πεντεκαίδεκα στρατιωτίδων μᾶλλον ἢ ταχειῶν ᾤχετο. Καὶ αὐτοῦ τῶν νεῶν τρεῖς ἀπόλλυνται ἐν τῷ Ἑλλησπόντῳ ὑπὸ τῶν Ἀττικῶν ἐννέα νεῶν, αἳ ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον, αἱ δ' ἄλλαι ἔφυγον εἰς Σηστόν, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐσώθησαν. [Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ 37
Καρχηδόνιοι Ἀννίβα ἡγουμένου στρατεύσαντες ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας Σελινοῦντα καὶ Ἱμέραν].

Κεφ. Β'. Τῷ δὲ ἄλλῳ ἔτει [ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ 410 π.Χ.
ἐνενηκοστή, ᾗ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγόρου Ἠλείου, τὸ δὲ στάδιον Εὐβώτας Κυρηναῖος, ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ Εὐαρχίππου, ἄρχοντος δ' ἐν Ἀθήναις Εὐκτήμονος] Ἀθηναῖοι μὲν Θορικὸν ἐτείχισαν.

---

*σχήσοι*] συντ. § 57, 1, γ', — *καὶ ὅθεν*] καὶ τὰ χωρία, ἐξ ὧν. — *εἶναι*] ἐνν. ἔφη. — *Βυζάντιον*] ἡ νῦν Κωνσταντινούπολις.

§ 36. *δόξαντος δὲ τούτου*] προσωπικῶς τὸ δοκεῖν ἐνταῦθα = ἀφοῦ ἡ συμβουλὴ αὕτη ἐγένετο ἀποδεκτή, — *στρατιώτιδες*] καὶ *ὁπλιταγωγοὶ* νῆες αἱ χρησιμεύουσαι πρὸς μεταφορὰν στρατιωτῶν. — *ᾤχετο*] ὁ Κλέαρχος.

37. *Καρχηδόνιοι*] ἐκ Καρχηδόνος πόλεως τῆς Ἀφρικῆς. — *Ἀννίβας*] Καρχηδόνιος ἄλλος ἢ ὁ μέγας στρατηγὸς ὁ νικητὴς τῶν Ῥωμαίων. — *Σελινοῦς καὶ Ἱμέρα*] ἑλληνικαὶ πόλεις τῆς Σικελίας.

Κεφ. Β'. § 1. *Τῷ δὲ ἄλλῳ ἔτει*] 22ῳ τοῦ Πελοποννησιακοῦ πολέμου, 410. π. χ. — *Ὀλυμπιάς*] ἡ ἑορτὴ τῶν Ὀλυμπίων. — *ξυνωρίς*] ἅρμα (ἅμαξα) συρόμενον ὑπὸ δύο ἵππων. — *ἐνίκα*] συντ. § 37, 2, σημ. 1. — *Κυρηναῖος*] ἐκ Κυρήνης πόλεως ἑλληνικῆς ἐν Λιβύῃ τῆς Ἀφρικῆς. — *ἔφοροι*] οἱ 5 ἀνώτατοι ἄρχοντες ἐν Σπάρτῃ. — *ἄρχοντος*] ἐπωνύμου, ὅστις ἦτο ὁ ἐπισημότερος τῶν ἐννέα ἀρχόντων ἐν Ἀθήναις. — *Θορικός*] μία τῶν 12 ἀρχαίων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Θράσυλλος δὲ τά τε ψηφισθέντα πλοῖα λαβὼν καὶ πενταχισχιλίους τῶν ναυτῶν πελταστὰς ποιησάμενος ὡς ἅμα καὶ πελτασταῖς χρησόμενος ἐξέπλευσεν ἀρχομένου τοῦ
2 θέρους εἰς Σάμον. Ἐκεῖ δὲ μείνας τρεῖς ἡμέρας ἔπλευσεν εἰς Πύγελα· καὶ ἐνταῦθα τήν τε χώραν ἐδῄου καὶ προσέβαλλε τῷ τείχει. Ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντες τινὲς τοῖς Πυγελεῦσι διεσπαρμένους ὄντας τῶν Ἀθηναίων
3 τοὺς ψιλοὺς ἐδίωκον. Οἱ δὲ πελτασταὶ καὶ τῶν ὁπλιτῶν δύο λόχοι βοηθήσαντες πρὸς τοὺς αὑτῶν ψιλοὺς ἀπέκτειναν ἅπαντας τοὺς ἐκ Μιλήτου ἐκτὸς ὀλίγων καὶ ἀσπίδας
4 ἔλαβον ὡς διακοσίας καὶ τροπαῖον ἔστησαν. Τῇ δὲ ὑστεραίᾳ ἔπλευσαν εἰς Νότιον καὶ ἐντεῦθεν παρασκευασάμενοι ἐπορεύοντο εἰς Κολοφῶνα. Κολοφώνιοι δὲ προσεχώρησαν. Καὶ τῆς ἐπιούσης νυκτὸς ἐνέβαλον εἰς τὴν Λυδίαν ἀκμάζοντος τοῦ σίτου καὶ κώμας τε πολλὰς ἐνέπρησαν καὶ χρήματα ἔλαβον καὶ ἀνδράποδα καὶ ἄλλην λείαν πολλήν. Στάγης δὲ ὁ Πέρσης περὶ ταῦτα τὰ χωρία ὤν, ἐπεὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ στρατοπέδου διεσκεδασμένοι ἦσαν κατὰ τὰς ἰδίας λείας, βοηθησάντων τῶν ἱππέων
6 ἕνα μὲν ζωὸν ἔλαβεν, ἑπτὰ δὲ ἀπέκτεινε. Θράσυλλος δὲ

---

πόλεων τῆς Ἀττικῆς καὶ δῆμος εἰς τὰ ἀνατολικὰ παράλια αὐτῆς.—*πελτασταί*] στρατιῶται φέροντες μικρὰν ἀσπίδα, ἡ ὁποία ἐλέγετο *πέλτη*.

§ 2. *Πύγελα*] μικρὰ πόλις τῆς Μ. Ἀσίας ἀντικρὺ τῆς Σάμου.—*Μίλητος*] ἐπίσημος πόλις τῆς Ἰωνίας ἐν Μ. Ἀσίᾳ

§ 3. *λόχος*] σῶμα στρατιωτικὸν συνήθως ἐξ 100 ἀνδρῶν.—*τροπαῖον*] (ἐκ τοῦ τρέπω) ἦν σημεῖον νίκης, συνίστατο δὲ ἐκ τῶν ὅπλων τῶν νικηθέντων ἐχθρῶν.

§ 4. *Νότιον*] πόλις τῆς Μ. Ἀσίας, ἐπίνειον τοῦ Κολοφῶνος.—*ἐνέβαλον*] συντ. § 35, 1, σημ. 2.—*ἀκμάζοντος τοῦ σίτου*] τὸν Ἰούνιον τοῦ 410 π. Χ.—*ἐνέπρησαν*] ἔκαυσαν· ἐνεστ. ἐμπίμπρημι· γραμμ. § 84, 3.

§ 5. *κατὰ τὰς ἰδίας λείας*] πρὸς λαφυραγωγίαν ἰδικήν του ἕκαστος.—*ζωὸν ἔλαβε*]=ἐζώγρησε, ζωντανὸν συνέλαβε.

§ 6. *Ἔφεσος*] πόλις τῆς Μ. Ἀσίας ἀντικρὺ τῆς Σάμου.—*τοῦτο τὸ ἐπι-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μετὰ ταῦτα ἀπήγαγεν ἐπὶ θάλατταν τὴν στρατιὰν ὡς εἰς Ἔφεσον πλευσούμενος. Τισσαφέρνης δὲ αἰσθόμενος τοῦτο τὸ ἐπιχείρημα στρατιάν τε συνέλεγε πολλὴν καὶ ἱππέας ἀπέστελλε παραγγέλλων πᾶσιν [εἰς Ἔφεσον] βοηθεῖν τῇ Ἀρτέμιδι. Θράσυλλος δὲ ἑβδόμῃ καὶ δεκάτῃ ἡμέρᾳ 7
μετὰ τὴν εἰσβολὴν εἰς Ἔφεσον ἔπλευσε καὶ τοὺς μὲν ὁπλίτας πρὸς τὸν Κορησσὸν ἀποβιβάσας, τοὺς δὲ ἱππέας καὶ πελταστὰς καὶ ἐπιβάτας καὶ τοὺς ἄλλους πάντας πρὸς τὸ ἕλος ἐπὶ τὰ ἕτερα τῆς πόλεως ἅμα τῇ ἡμέρᾳ προσῆγε δύο στρατόπεδα. Οἱ δ᾽ ἐκ τῆς πόλεως ἐβοήθησαν 8
Ἐφέσιοι, οἵ τε σύμμαχοι, οὓς Τισσαφέρνης ἤγαγε, καὶ Συρακόσιοι, οἵ τ᾽ ἀπὸ τῶν προτέρων εἴκοσι νεῶν καὶ ἀπὸ ἑτέρων πέντε, αἳ ἔτυχον τότε παραγενόμεναι, νεωστὶ ἥκουσαι μετὰ Εὐκλέους τε τοῦ Ἵππωνος καὶ Ἡρακλείδου τοῦ Ἀριστογένους στρατηγῶν, καὶ Σελινούσιαι δύο. Οὗτοι 9
δὲ πάντες πρῶτον μὲν πρὸς τοὺς ὁπλίτας τοὺς ἐν Κορησσῷ ἐβοήθησαν· τούτους δὲ τρεψάμενοι καὶ ἀποκτείναντες ἐξ αὐτῶν ὡσεὶ ἑκατὸν καὶ εἰς τὴν θάλατταν καταδιώξαντες πρὸς τοὺς παρὰ τὸ ἕλος ἐτράποντο. Ἔφυγον δὲ κἀκεῖ οἱ Ἀθηναῖοι καὶ ἀπώλοντο αὐτῶν ὡς τριακόσιοι. Οἱ δὲ 10
Ἐφέσιοι τροπαῖον ἐνταῦθα ἔστησαν καὶ ἕτερον πρὸς τῷ

---

*χείρημα*] ὅτι ὁ Θράσυλλος ἐσκόπει νὰ πλεύσῃ εἰς Ἔφεσον.—*τῇ Ἀρτέμιδι*] δηλ. τῷ ναῷ τῆς Ἀρτέμιδος.

§ 7. *Κορησσός*] ὄρος πρὸς νότον τῆς Ἐφέσου.—*ἐπὶ τὰ ἕτερα τῆς πόλεως*] εἰς τὸ ἕτερον μέρος τῆς πόλεως, πρὸς βοῤῥᾶν τῆς Ἐφέσου.

§ 8. *Οἱ δ᾽ ἐκ τῆς πόλεως ἐβοήθησαν*] οἱ ἐν τῇ πόλει ὄντες ἐξῆλθον ἐκ τῆς πόλεως ἵνα ὑπερασπισθῶσιν. Συντ. § 21, 1, γραμμ. § 41, σημ. 1.—*καὶ Σελινούσιαι δύο*] ἀντὶ *καὶ οἱ ἀπὸ Σελινουσίων δυοῖν*, δηλ. οἱ ἄνδρες δύο ἐκ Σελινοῦντος πλοίων.

§ 9. *πρὸς τοὺς ὁπλίτας—ἐβοήθησαν*] ἔδραμον ἐναντίον τῶν ὁπλιτῶν· πρβλ. 2, 1, 18.—*ὡσεὶ ἑκατόν*] σχεδὸν ἑκατόν.

§ 10. *ἀριστεῖα*] βραβεῖα ἀνδρείας διδόμενα εἰς τοὺς ἀρίστους.—*καὶ κοι-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κορησσῷ. Τοῖς δὲ Συρακοσίοις καὶ Σελινουσίοις κρατίστοις γενομένοις ἀριστεῖα ἔδοσαν καὶ κοινῇ καὶ ἰδίᾳ πολλοῖς καὶ οἰκεῖν ἀτελεῖ τῷ βουλομένῳ ἀεί. Σελινουσίοις δέ, ἐπεὶ ἡ πόλις ἀπωλώλει, καὶ πολιτείαν ἔδο-
11 σαν. Οἱ δ' Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπολαβόντες ἀπέπλευσαν εἰς Νότιον, κἀκεῖ θάψαντες αὐτοὺς
12 ἔπλεον ἐπὶ Λέσβου καὶ Ἑλλησπόντου. Ὁρμοῦντες δὲ ἐν Μηθύμνῃ τῆς Λέσβου εἶδον παραπλεούσας ἐξ Ἐφέσου τὰς Συρακοσίας ναῦς πέντε καὶ εἴκοσι· καὶ ἐπ' αὐτὰς ἀναχθέντες τέτταρας μὲν ἔλαβον αὐτοῖς ἀνδράσι, τὰς
13 δ' ἄλλας κατεδίωξαν εἰς Ἔφεσον. Καὶ τοὺς μὲν ἄλλους αἰχμαλώτους Θράσυλλος εἰς Ἀθήνας ἀπέπεμψε πάντας, Ἀλκιβιάδην δὲ Ἀθηναῖον, Ἀλκιβιάδου ὄντα ἀνεψιὸν καὶ συμφυγάδα, κατέλευσεν. Ἐντεῦθεν δὲ ἔπλευσεν εἰς τὴν Σηστὸν πρὸς τὸ ἄλλο στράτευμα· ἐκεῖθεν δὲ ἅπασα
14 ἡ στρατιὰ διέβη εἰς Λάμψακον. Καὶ χειμὼν ἐπῄει ἐν ᾧ οἱ αἰχμάλωτοι Συρακόσιοι εἱργμένοι τοῦ Πειραιῶς ἐν λιθοτομίαις, διορύξαντες τὴν πέτραν, ἀποδράντες νυκτὸς

---

*κοινῇ καὶ ἰδίᾳ*] καὶ αἱ πόλεις ἔδωκαν καὶ ἰδιαιτέρως οἱ πολῖται.—*οἰκεῖν*] ἐκ τοῦ βουλομένῳ.—*ἀτελεῖ*] νὰ ἔχῃ ἀσυδοσίαν, δηλ. ἀπαλλαγὴν ἀπὸ παντὸς φόρου ἢ ἄλλης ὑποχρεώσεως.—*τῷ βουλομένῳ*]=παντὶ βουλ. συντ. § 20, 1, α'.—*ἡ πόλις*] ἡ ἑαυτῶν.—*καὶ πολιτείαν*] δικαιώματα πολίτου, δηλ. ἔκαμαν αὐτοὺς πολίτας.

§ 11. *ὑποσπόνδους*] μὲ συνθήκην, ὅπερ ἦν σημεῖον ὅτι ἐνικήθησαν.—*ἐπὶ Λέσβου*] πρὸς τὴν Λ. συντ. 23, γ'.

§ 12. *ὁρμοῦντες*] ἐνῷ ἦσαν ἀραγμένοι· ὁρμέω—ῶ ἐκ τοῦ ὅρμος=λιμήν.—*Μήθυμνα*] πόλις τῆς Λέσβου.—*εἶδον παραπλεούσας*] συντ. § 45, β', 6.—*αὐτοῖς ἀνδράσι*] μαζὶ μὲ τοὺς ἄνδρας.

§ 13. *ἀνεψιόν*] ἐξάδελφον.—*κατέλευσεν*] διέταξε καὶ τὸν ἐφόνευσαν διὰ λιθοβολισμοῦ.—*Λάμψακος*] πόλις ἑλληνικὴ ἐν Ἑλλησπόντῳ ἐπὶ τῆς Ἀσίας.

§ 14. *εἱργμένοι*] φυλακισμένοι· εἴργνυμι τὸ ῥ. ὅθεν εἱρκτή.—*λιθοτομίαι*] καὶ λατομίαι τόποι, ὅπου ἔκοπτον λίθους καὶ εἰς πολλὰ μέρη ἐχρησίμευον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ᾤχοντο εἰς Δεκέλειαν, οἱ δ' εἰς Μέγαρα. Ἐν δὲ τῇ Λαμ- 15
ψάκῳ συντάττοντος Ἀλκιβιάδου τὸ στράτευμα πᾶν οἱ
πρότεροι στρατιῶται οὐκ ἐβούλοντο τοῖς μετὰ Θρασύλλου
συντάττεσθαι ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, ἐκεῖνοι δὲ ἡτ-
τημένοι ἥκοιεν. Ἐνταῦθα δὴ ἐχείμαζον ἅπαντες Λάμψα-
κον τειχίζοντες. Καὶ ἐστράτευσαν πρὸς Ἄβυδον· Φαρνά- 16
βαζος δ' ἐβοήθησεν ἵπποις πολλοῖς καὶ μάχῃ ἡττηθεὶς
ἔφυγεν. Ἀλκιβιάδης δὲ ἐδίωκεν ἔχων τούς τε ἱππέας καὶ
τῶν ὁπλιτῶν εἴκοσι καὶ ἑκατόν, ὧν ἦρχε Μένανδρος, μέχρι
σκότος ἀφείλετο. Ἐκ δὲ τῆς μάχης ταύτης συνέβησαν οἱ 17
στρατιῶται αὐτοὶ αὑτοῖς καὶ ἠσπάζοντο τοὺς μετὰ Θρα-
σύλλου. Ἐξῆλθον δέ τινας καὶ ἄλλας ἐξόδους τοῦ χειμῶ-
νος εἰς τὴν ἤπειρον καὶ ἐπόρθουν τὴν βασιλέως χώραν.
Τῷ δ' αὐτῷ χρόνῳ καὶ Λακεδαιμόνιοι τοὺς εἰς τὸ Κορυ- 18
φάσιον τῶν Εἱλώτων ἀφεστῶτας ἐκ Μαλέας ὑποσπόνδους

---

ὡς φυλακαί· ἐνταῦθα ἐννοεῖ τὰς ἐν τῇ Πειραϊκῇ χερσονήσῳ κατὰ Γ. Ζάν-νέττον.—*οἱ δέ*]=τινὲς δέ.

§ 15. *συντάττοντος*]=βουλομένου συντάττειν· εὐθὺς κατωτέρω ἀναλελυμένον, οὐκ ἐβούλοντο συντάττεσθαι=οὐ συνετάττοντο· συντ. § 37, 1, 4. Ἐνῷ ὁ Ἀλκιβ. ἤθελε νὰ ἑνώσῃ ὅλον τὸ στράτευμα εἰς ἓν στρατόπεδον.—*ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι*] ἡ μετχ. αἰτιολγ.=ὡς αὐτοὶ μὲν εἶεν ἀήττητοι. -*ἐκεῖνοι*] οἱ μετὰ Θρασύλλου.—*ἐχείμαζον*] παρεχείμαζον, ἔμενον τὸν χειμῶνα τοῦ 410 π. Χ.—*ἅπαντες*] οἱ στρατιῶται τ ῦ Ἀλκιβ. καὶ τοῦ Θρασύλλου.

§ 16. *ἵπποις*]=ἱππεῦσιν.—*ἐδίωκεν*] ἐνν. αὐτόν.—*ἀφείλετο*] (ἀφαιροῦμαι) τὸν Φαρνάβ. φεύγοντα ἀπὸ τοῦ Ἀλκιβ. διώκοντος. δηλ. ἕως ὅτου ἐνύκτωσε καὶ ὁ Ἀλκιβ. δὲν ἔβλεπε τὸν Φαρνάβ.

§ 17. *ἐκ δὲ τῆς μάχης*] μετὰ δὲ τὴν μάχην —*συνέβησαν*—*αὐτοί*] συνεβιβάσθησαν μόνοι των.—*αὑτοῖς*]=ἀλλήλοις· συντ. § 21, 3. σημ. 1.—*ἐξῆλθον*—*ἐξόδους*] συντ. § 12, 6.

§ 18. *τῷ δ' αὐτῷ χρόνῳ*] τὸν χειμῶνα τοῦ 410 π. Χ.—*Κορυφάσιον*] ἀκρωτήριον τῆς Μεσσηνίας ἐν Πελοποννήσῳ πλησίον τῆς Πύλου.—*Ἡράκλεια ἡ Τραχινέα*] πόλις τῆς Φθιώτιδος πλησίον τῶν Θερμοπυλῶν—*πρὸς ἑπτακοσίους*] ἕως ἑπτακ. ὑποκμ. τῆς ἀπαρεμφ. ἀπολέσθαι.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ἀφῆκαν. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ Ἀχαιοὶ τοὺς ἐποίκους ἀντιτεταγμένων πάντων πρὸς Οἰταίους πολεμίους ὄντας προέδοσαν, ὥστε ἀπολέσθαι αὐτῶν πρὸς ἑπτακοσίους σὺν τῷ ἐκ Λακεδαίμονος ἁρμο-*
19 *στῇ Λαβώτῃ. [Καὶ ὁ ἐνιαυτὸς ἔληγεν οὗτος, ἐν ᾧ καὶ Μῆδοι ἀπὸ Δαρείου τοῦ Περσῶν βασιλέως ἀποστάντες πάλιν προσεχώρησαν αὐτῷ.]*

410 π.Χ. *Κεφ. Γ΄. [Τοῦ δ' ἐπιόντος ἔτους ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθηνᾶς ἐνεπρήσθη πρηστῆρος ἐμπεσόντος.] Ἐπεὶ δ' ὁ χειμὼν ἔληγε, [Παντακλέους μὲν ἐφορεύοντος, ἄρχοντος δ' Ἀντιγένους, ἔαρος ἀρχομένου, δυοῖν καὶ εἴκοσιν ἐτῶν τῷ πολέμῳ παρεληλυθότων,] οἱ Ἀθηναῖοι ἔπλευσαν εἰς*
2 *Προκόννησον παντὶ τῷ στρατοπέδῳ. Ἐκεῖθεν δ' ἐπὶ Καλχηδόνα καὶ Βυζάντιον ὁρμήσαντες ἐστρατοπεδεύσαντο πρὸς Καλχηδόνι. Οἱ δὲ Καλχηδόνιοι προσιόντας αἰσθόμενοι τοὺς Ἀθηναίους τὴν λείαν ἅπασαν κατέθεντο εἰς τοὺς Βι-*
3 *θυνοὺς Θρᾷκας ἀστυγείτονας ὄντας. Ἀλκιβιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους καὶ τοὺς ἱππέας καὶ τὰς ναῦς παραπλεῖν κελεύσας ἐλθὼν εἰς τοὺς Βιθυνοὺς ἀπῄτει τὰ τῶν Καλχηδονίων χρήματα· εἰ δὲ μή, πολεμήσειν ἔφη αὐ-*
4 *τοῖς. Οἱ δὲ ἀπέδοσαν. Ἀλκιβιάδης δ' ἐπεὶ ἧκεν εἰς τὸ στρατόπεδον τήν τε λείαν ἔχων καὶ πίστεις πεποιημένος, ἀπετείχιζε τὴν Καλχηδόνα παντὶ τῷ στρατοπέδῳ ἀπὸ θαλάττης εἰς θάλατταν καὶ τοῦ ποταμοῦ ὅσον οἷόν τ' ἦν*

---

Κεφ. Γ΄ § 1. *τοῦ δ' ἐπιόντος ἔτους*] 409 π. Χ.—*Φώκαια*] πόλις τῆς Ἰωνίας ἐν Μ. Ἀσίᾳ.—*πρηστήρ*] κεραυνός, ἐκ τοῦ ἐμπίμπραμαι· γραμμ. § 84, 3.

§ 2 *τὴν λείαν*] κατὰ πρόληψιν πᾶν ὅ,τι ἠδύνατο νὰ γείνῃ λεία, τὰ ὁποῖα κατωτέρω λέγει *χρήματα*.

§ 3. *εἰ δὲ μή*] ἐνν. ἀποδοῖεν.

§ 4. *τὴν λείαν*] τὰ (πράγματα) χρήματα τῶν Καλχηδονίων.—*πίστεις πεποιημένος*]=πιστὰ δεδωκὼς καὶ εἰληφώς: ἰδὲ § 9.—*ἀπετείχιζε*] ἀπέκλειε διὰ τείχους.—*ἀπὸ θαλάττης εἰς θάλατταν*] ἀπὸ τῆς μιᾶς θαλάσσης

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξυλίνῳ τείχει. Ἐνταῦθα Ἱπποκράτης μὲν ὁ Λακεδαιμό- 5
νιος ἁρμοστὴς ἐκ τῆς πόλεως ἐξήγαγε τοὺς στρατιώτας
ὡς μαχούμενος· οἱ δὲ Ἀθηναῖοι ἀντιπαρετάξαντο αὐτῷ,
Φαρνάβαζος δὲ ἔξω τῶν περιτειχισμάτων προσεβοήθει
στρατιᾷ τε καὶ ἵπποις πολλοῖς. Ἱπποκράτης μὲν οὖν καὶ 6
Θράσυλλος ἐμάχοντο ἑκάτερος τοῖς ὁπλίταις χρόνον πολύν,
μέχρι Ἀλκιβιάδης ἔχων ὁπλίτας τέ τινας καὶ τοὺς ἱππέας
ἐβοήθησε. Καὶ Ἱπποκράτης μὲν ἀπέθανεν, οἱ δὲ μετ' αὐ-
τοῦ ὄντες ἔφυγον εἰς τὴν πόλιν, ἅμα δὲ καὶ Φαρνάβαζος 7
οὐ δυνάμενος συμμεῖξαι πρὸς τὸν Ἱπποκράτην διὰ τὴν
στενοπορίαν, τοῦ ποταμοῦ καὶ τῶν ἀποτειχισμάτων ἐγ-
γὺς ὄντων, ἀπεχώρησεν εἰς τὸ Ἡράκλειον τὸ τῶν Καλ-
χηδονίων, οὗ ἦν αὐτῷ τὸ στρατόπεδον. Ἐκ τούτου δὲ 8
Ἀλκιβιάδης μὲν ᾤχετο εἰς τὸν Ἑλλήσποντον καὶ εἰς
Χεῤῥόνησον χρήματα πράξων· οἱ δὲ λοιποὶ στρατηγοὶ συν-
εχώρησαν πρὸς Φαρνάβαζον ὑπὲρ Καλχηδόνος εἴκοσι
τάλαντα δοῦναι Ἀθηναίοις Φαρνάβαζον καὶ ὡς βασιλέα
πρέσβεις Ἀθηναίων ἀναγαγεῖν καὶ ὅρκους ἔδοσαν καὶ 9
ἔλαβον παρὰ Φαρναβάζου ὑποτελεῖν τὸν φόρον Καλχηδο-

---

ἕως τὴν ἄλλην. δηλ. ἀπὸ τοῦ Βοσπόρου μέχρι τῆς Προποντίδος.—*καὶ τοῦ ποταμοῦ*] γεν. διαιρετικὴ ἐκ τοῦ *ὅσον οἷόν τ' ἦν* ἐνν. *ἀποτειχίσαι*.

§ 5. *ἐνταῦθα*] τότε, δηλ. ἐνῷ ἀπετείχιζε τὴν πόλιν ὁ Ἀλκιβ.—*ὡς μαχούμενος*] τελικὴ μετοχή.—*ἵπποις*]=ἱππεῦσιν.

§ 7. *συμμεῖξαι*] νὰ συνενωθῇ· τὸ ῥ. συμμείγνυμι.—*διὰ τὴν στενοπορίαν*] διότι τὸ πέρασμα ἦτο στενόν.—*Ἡράκλειον*] ναὸς τοῦ Ἡρακλέους.—*οὗ*]= ὅπου.

§ 8. *ἐκ τούτου*] μετὰ τοῦτο.—*Χεῤῥόνησος*] ἡ Θρακικὴ παρὰ τὸν Ἑλλήσποντον.—*χρήματα πράξων*] διὰ νὰ εἰσπράξῃ χρήματα.—*οἱ δὲ λοιποὶ στρατηγοί*] Θράσυλλος καὶ Θηραμένης.—*συνεχώρησαν*] συνεφώνησαν.—*ὑπὲρ Καλχηδόνος*] χάριν τῆς Καλχ.—*τάλαντον*]=6000 δραχμ.

§ 9. *ὅρκους ἔδοσαν καὶ ἔλαβον*] περίφρασις τοῦ μέσου ἀλληλοπαθοῦς= ὅρκους (πίστεις) ἐποιήσαντο.—*ὑποτελεῖν*] νὰ πληρώνωσιν.—*εἰώθεσαν*] ἐνν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νίους Ἀθηναίοις, ὅσονπερ εἰώθεσαν, καὶ τὰ ὀφειλόμενα
χρήματα ἀποδοῦναι, Ἀθηναίους δὲ μὴ πολεμεῖν Καλχη-
10 δονίοις, ἕως ἂν οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν. Ἀλ-
κιβιάδης δὲ τοῖς ὅρκοις οὐκ ἐτύγχανε παρών, ἀλλὰ περὶ
Σηλυμβρίαν ἦν· ἐκείνην δ᾽ ἑλὼν πρὸς τὸ Βυζάντιον ἧκεν
ἔχων Χεῤῥονησίτας τε πανδημεὶ καὶ ἀπὸ Θρᾴκης στρατι-
11 ώτας καὶ ἱππέας πλείους τριακοσίων. Φαρνάβαζος δὲ ἀ-
ξιῶν δεῖν κἀκεῖνον ὀμνύναι περιέμενεν ἐν Καλχηδόνι, μέ-
χρι ἔλθοι ἐκ τοῦ Βυζαντίου· ἐπειδὴ δὲ ἦλθεν, οὐκ ἔφη
12 ὀμεῖσθαι, εἰ μὴ κἀκεῖνος αὐτῷ ὀμεῖται. Μετὰ ταῦτα ὤμο-
σεν ὁ μὲν ἐν Χρυσοπόλει, οἷς Φαρνάβαζος ἔπεμψε Μιτρο-
βάτει καὶ Ἀρνάπει, ὁ δ᾽ ἐν Καλχηδόνι τοῖς παρ᾽ Ἀλκι-
βιάδου, Εὐρυπτολέμῳ καὶ Διοτίμῳ, τόν τε κοινὸν ὅρκον
13 καὶ ἰδίᾳ ἀλλήλοις πίστεις ἐποιήσαντο. Φαρνάβαζος μὲν οὖν
εὐθὺς ἀπῄει καὶ τοὺς παρὰ βασιλέα πορευομένους πρέσβεις
ἀπαντᾶν ἐκέλευσεν εἰς Κύζικον. Ἐπέμφθησαν δὲ Ἀθηναίων
μὲν Δωρόθεος, Φιλοκύδης, Θεογένης, Εὐρυπτόλεμος,
Μαντίθεος, σὺν δὲ τούτοις Ἀργεῖοι Κλεόστρατος, Πυῤῥό-
λοχος· ἐπορεύοντο δὲ καὶ Λακεδαιμονίων [πρέσβεις] Πα-
σιππίδας καὶ ἕτεροι, μετὰ δὲ τούτων καὶ Ἑρμοκράτης ἤδη
φεύγων ἐκ Συρακουσῶν καὶ ὁ ἀδελφὸς αὐτοῦ Πρόξενος.
14 Καὶ Φαρνάβαζος μὲν τούτους ἦγεν· οἱ δὲ Ἀθηναῖοι τὸ
Βυζάντιον ἐπολιόρκουν περιτειχίσαντες καὶ πρὸς τὸ τεῖ-

---

ὑποτελεῖν.—*μὴ πολεμεῖν*] νὰ κάμωσιν ἀνακωχήν.—*οἱ παρὰ βασιλέως*]= οἱ παρὰ βασιλέα πεμφθέντες ἔλθωσι παρὰ βασιλέως.

§ 11. *οὐκ ἔφη ὀμεῖσθαι*]=ἔφη οὐκ ὀμεῖσθαι· εἶπεν ὅτι δὲν θὰ ὁρκισθῇ.

§ 12. *ὁ μέν*] Ἀλκιβιάδης.—*ὁ δὲ*] Φαρνάβαζος.—*οἷς*]=τούτοις, οὕς.—*τὸν κοινὸν ὅρκον*] περὶ τῶν κοινῶν πραγμάτων τῆς πόλεως.—*ἰδίᾳ ἀλλήλοις πίστεις*] φιλίαν προσωπικήν.

§ 13. *ἀπαντᾶν εἰς Κύζικον*] νὰ ὑπάγωσιν εἰς Κύζ. καὶ ἐκεῖ νὰ συναντήσωσιν αὐτόν.—*ἤδη φεύγων*] ὢν ἤδη ἐξόριστος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χος ἀκροβολισμοὺς καὶ προσβολὰς ἐποιοῦντο, ἐν δὲ τῷ
Βυζαντίῳ ἦν Κλέαρχος Λακεδαιμόνιος ἁρμοστὴς καὶ σὺν 15
αὐτῷ τῶν περιοίκων τινὲς καὶ τῶν νεοδαμώδων οὐ πολλοὶ
καὶ Μεγαρεῖς καὶ ἄρχων αὐτῶν Ἕλιξος Μεγαρεὺς καὶ
Βοιωτοὶ καὶ τούτων ἄρχων Κοιρατάδας· οἱ δ' Ἀθηναῖοι 16
ὡς οὐδὲν ἐδύναντο διαπράξασθαι κατ' ἰσχὺν ἔπεισάν τινας
τῶν Βυζαντίων προδοῦναι τὴν πόλιν. Κλέαρχος δὲ ὁ ἁρ- 17
μοστὴς οἰόμενος οὐδένα ἂν τοῦτο ποιῆσαι, καταστήσας δὲ
ἅπαντα ὡς ἐδύνατο κάλλιστα καὶ ἐπιτρέψας τὰ ἐν τῇ πό-
λει Κοιρατάδᾳ καὶ Ἑλίξῳ διέβη παρὰ τὸν Φαρνάβαζον
εἰς τὸ πέραν μισθόν τε τοῖς στρατιώταις παρ' αὐτοῦ ληψό-
μενος καὶ ναῦς συλλέξων, αἳ ἦσαν ἐν τῷ Ἑλλησπόντῳ
ἄλλαι ἄλλῃ καταλελειμμέναι φρουρίδες ὑπὸ Πασιππίδου
καὶ ἃς Ἀγησανδρίδας εἶχεν ἐπὶ Θρᾴκης ἐπιβάτης ὢν
Μινδάρου, καὶ ὅπως καὶ ἐν Ἀντάνδρῳ ἄλλαι ναυπηγη-
θείησαν, ἁθρόαι δὲ γενόμεναι πᾶσαι κακῶς τοὺς συμμά-
χους τῶν Ἀθηναίων ποιοῦσαι ἀποσπάσειαν τὸ στρατόπε-
δον ἀπὸ τοῦ Βυζαντίου. Ἐπεὶ δ' ἐξέπλευσεν ὁ Κλέαρχος, 18

---

§ 15. *περίοικοι*] οἱ ἀρχαῖοι κάτοικοι τῆς Λακωνικῆς, οἱ Ἀχαιοί, οἵτινες κατὰ τὴν κάθοδον τῶν Ἡρακλειδῶν (Δωριέων) ὑποταχθέντες ἑκουσίως ἔμειναν ἐλεύθεροι πληρόνοντες φόρους καὶ στρατεύοντες, ἀλλὰ δὲν μετεῖχον τῆς ἀρχῆς. — *νεοδαμώδεις*] οἱ ἀπελευθερούμενοι Εἵλωτες, νέοι δηλ. πολῖται.

§ 16. *κατ' ἰσχὺν*]=κατὰ κράτος, βίᾳ.

§ 17. *οὐδένα ἂν τοῦτο ποιῆσαι*] = ὅτι οὐδεὶς ἂν τοῦτο ποιήσειεν. — *τοῦτο*] τὸ προδοῦναι τὴν πόλιν.—*διέβη* (διὰ τοῦ Βοσπόρου) *μισθόν τε ληψόμενος* καὶ ναῦς *συλλέξων*. . .*καὶ ὅπως ἄλλαι ναυπηγηθείησαν*. . . *ἁθρόαι δέ*. . . *ἀποσπάσειαν*] τὸ διέβη ὡς κινήσεως σημαντικὸν συντάσσεται μετὰ τελικῆς μετοχῆς *ληψόμενος* (=ὅπως λάβοι) καὶ *συλλέξων* (=ὅπως συλλέξειεν), ἔπειτα δ' ὅμως τρέπεται ὁ λόγος καὶ ἡ μετοχὴ ἀναλύεται εἰς τελικὴν πρότασιν, *ὅπως ναυπηγηθείησαν — ἀποσπάσειαν*. — *αἳ ἦσαν — ἄλλαι*] = τάς τε ἄλλας, αἳ ἦσαν, καθ' ἕλξιν — *ἐπιβάτης*] ὑποστράτηγος ἐνταῦθα. — *κακῶς — ποιοῦσαι*] κακοποιοῦσαι βλάπτουσαι.

§ 18. *οἱ προδιδόντες*] ἐνεστ. τοῦ σκοπουμένου. Ἀνακόλουθον σχῆμα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἱ προδιδόντες τὴν πόλιν τῶν Βυζαντίων, Κύδων καὶ
Ἀρίστων καὶ Ἀναξικράτης καὶ Λυκοῦργος καὶ Ἀναξί-
19 λαος, ὃς ὑπαγόμενος θανάτου ὕστερον ἐν Λακεδαίμονι
διὰ τὴν προδοσίαν ἀπέφυγεν εἰπὼν ὅτι οὐ προδοίη τὴν
πόλιν, ἀλλὰ σῶσαι παῖδας ὁρῶν καὶ γυναῖκας λιμῷ ἀπολ-
λυμένους Βυζάντιος ὢν καὶ οὐ Λακεδαιμόνιος· τὸν γὰρ
ἐνόντα σῖτον Κλέαρχον τοῖς Λακεδαιμονίων στρατιώταις
διδόναι· διὰ ταῦτ' οὖν τοὺς πολεμίους ἔφη εἰσέσθαι, οὐκ
20 ἀργυρίου ἕνεκα οὐδὲ διὰ τὸ μισεῖν Λακεδαιμονίους· ἐπεὶ
δὲ αὐτοῖς παρεσκεύαστο, νυκτὸς ἀνοίξαντες τὰς πύλας τὰς
ἐπὶ τὸ Θρᾴκιον καλούμενον εἰσήγαγον τὸ στράτευμα καὶ
21 τὸν Ἀλκιβιάδην· ὁ δὲ Ἕλιξος καὶ ὁ Κοιρατάδας οὐδὲν
τούτων εἰδότες ἐβοήθουν μετὰ πάντων εἰς τὴν ἀγοράν·
ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον, οὐδὲν ἔχοντες, ὅ,τι
22 ποιήσαιεν, παρέδοσαν σφᾶς αὐτούς· καὶ οὗτοι μὲν ἀπε-
πέμφθησαν εἰς Ἀθήνας καὶ ὁ Κοιρατάδας ἐν τῷ ὄχλῳ
ἀποβαινόντων ἐν Πειραιεῖ ἔλαθεν ἀποδρὰς καὶ ἀπεσώθη
εἰς Δεκέλειαν.

---

ἐνταῦθα, διότι ὁ λόγος διακόπτεται καὶ ἡ ὀνομ. μένει χωρὶς ῥῆμα· ἐπαναλαμβάνεται δὲ ἡ διακοπεῖσα σειρὰ τῆς διηγήσεως ἐν § 20.—*τῶν Βυζαντίων*] γεν. διαιρετικὴ τοῦ οἱ προδιδόντες..— *τὴν πόλιν*] ἐνν. ἑαυτῶν.

§ 19. *ὑπαγόμενος θανάτου*] ἐνν. ὑπὸ τοὺς δικαστάς, δικαζόμενος διὰ θάνατον.— *ἀπέφυγεν*] ἠθῳώθη— *ὅτι οὐ προδοίη — ἀλλὰ σῶσαι*] = ὅτι δὲν ἐπρόδωκεν, ἀλλ' ἔσωσε· συντ. § 51.— *τὸν γὰρ ἐνόντα σῖτον*] αἰτιολογεῖ τὸ παῖδας ὁρῶν καὶ γυναῖκας ἀπολλυμένας.—*διδόναι*] ἐνν. ἔφη=ὅτι ἔδιδεν.— *εἰσέσθαι*] ὅτι εἰσήγαγε· μέσ· ἀόρ. β' τοῦ εἰσίημι.

§ 20. *αὐτοῖς*] τοῖς προδιδοῦσιν. — *παρεσκεύαστο*] ἀπροσώπως=ἡ παρασκευὴ ἐγεγένητο.— *Θρᾴκιον*] τόπος ἀνοικτὸς ἔρημος ἐν Βυζαντίῳ.

§ 21. *ἐβοήθουν*] ἔδραμον πρὸς ἄμυναν.— *ὅ,τι ποιήσαιεν*] πλαγία ἐρώτησις· συντ. 58, 5.

§ 22. *ἀποβαινόντων*] ἐνν. αὐτῶν.—*ἔλαθεν ἀποδρὰς*] =λάθρα ἀπέδρα. συντ. 45, β', 2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Κεφ. Δ΄. Φαρνάβαζος δὲ καὶ οἱ πρέσβεις τῆς Φρυγίας* 1
*ἐν Γορδίῳ ὄντες τὸν χειμῶνα τὰ περὶ τὸ Βυζάντιον πε-* 408 π. Χ.
*πραγμένα ἤκουσαν. Ἀρχομένου δὲ τοῦ ἔαρος πορευομέ-* 2
*νοις αὐτοῖς παρὰ βασιλέα ἀπήντησαν καταβαίνοντες οἵ τε*
*Λακεδαιμονίων πρέσβεις, Βοιώτιος [ὄνομα] καὶ οἱ μετ᾽*
*αὐτοῦ, καὶ οἱ ἄλλοι [ἄγγελοι] καὶ ἔλεγον ὅτι Λακεδαι-*
*μόνιοι πάντων, ὧν δέονται, πεπραγότες εἶεν παρὰ βασι-*
*λέως, καὶ Κῦρος ἄρξων πάντων τῶν ἐπὶ θαλάττῃ καὶ* 3
*συμπολεμήσων Λακεδαιμονίοις ἐπιστολήν τε ἔφερε τοῖς*
*κάτω πᾶσι τὸ βασίλειον σφράγισμα ἔχουσαν, ἐν ᾗ ἐνῆν*
*καὶ τάδε· Καταπέμπω Κῦρον κάρανον τῶν εἰς Καστωλὸν*
*ἁθροιζομένων. Τὸ δὲ κάρανον ἔστι κύριον. Ταῦτ᾽ οὖν* 4
*ἀκούοντες οἱ τῶν Ἀθηναίων πρέσβεις, καὶ ἐπειδὴ Κῦρον*
*εἶδον, ἐβούλοντο μάλιστα μὲν παρὰ βασιλέα ἀναβῆναι,*
*εἰ δὲ μή, οἴκαδε ἀπελθεῖν. Κῦρος δὲ Φαρναβάζῳ εἶπεν ἢ* 5
*παραδοῦναι τοὺς πρέσβεις ἑαυτῷ ἢ μὴ οἴκαδέ πω ἀπο-*
*πέμψαι βουλόμενος τοὺς Ἀθηναίους μὴ εἰδέναι τὰ πρατ-*
*τόμενα. Φαρνάβαζος δὲ τέως μὲν κατεῖχε τοὺς πρέσβεις* 6
*φάσκων τοτὲ μὲν ἀνάξειν αὐτοὺς παρὰ βασιλέα, τοτὲ δὲ*

---

Κεφ. Δ΄. § 1. *Γόρδιον*] πόλις τῆς Φρυγίας.

§ 2. *ἀρχομένου τοῦ ἔαρος*] κατὰ τὰς ἀρχὰς τοῦ ἔαρος τοῦ 408 π. Χ. ἔτους.—*πάντων ὧν*] καθ᾽ ἕλξιν ἀντὶ πάντα ὧν.

§ 3 *καὶ Κῦρος*] ἐνν. ἀπήντησεν. – *τῶν ἐπὶ θαλάττῃ*] τῶν παραθαλασσίων. —*τοῖς κάτω*]=τοῖς ἐπὶ θαλάττῃ.—*τὸ βασίλειον σφράγισμα ἔχουσαν*] ἐσφραγισμένην μὲ τὴν σφραγῖδα τοῦ βασιλέως.—*Καστωλός*] πόλις τῆς Λυδίας ἐν Ἀσίᾳ.

§ 4. *εἰ δὲ μή*] ἐνν. παρὰ βασιλέα ἀναβαῖεν. — *ἀπελθεῖν*] ἐνν. ἐβούλοντο.

§ 5. *εἶπεν*]=ἐκέλευσεν· διὸ τὰ ἀπαρμφ. παραδοῦναι καὶ ἀποπέμψαι εἶναι τελικά· ἰδὲ συντ. § 42, 2, σημ. 2.—*μὴ οἴκαδέ πω*]=μήπω (ὄχι ἀκόμη) οἴκαδε.

§ 6. *φάσκων*] προφασιζόμενος· γραμμ. § 83. *ὡς μηδὲν μέμψηται*] ἐνν. Κῦρος· τελικὴ πρότασις ἐκ τοῦ κατεῖχε τοὺς πρέσβεις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7 οἴκαδε ἀποπέμψειν, ὡς μηδὲν μέμψηται· ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν, ἐδεήθη τοῦ Κύρου ἀφεῖναι αὐτοὺς φάσκων ὀμωμοκέναι ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ παρὰ βασιλέα. Πέμψαντες δὲ Ἀριοβαρζάνει παρακομίσαι αὐτοὺς ἐκέλευον· ὁ δὲ ἀπήγαγεν εἰς Κίον τῆς Μυσίας, ὅθεν πρὸς τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν.

8 Ἀλκιβιάδης δὲ βουλόμενος μετὰ τῶν στρατιωτῶν ἀποπλεῖν οἴκαδε ἀνήχθη εὐθὺς ἐπὶ Σάμου· ἐκεῖθεν δὲ λαβὼν τῶν νεῶν εἴκοσιν ἔπλευσε τῆς Καρίας ἐς τὸν Κεραμικὸν κόλπον· ἐκεῖθεν δὲ συλλέξας ἑκατὸν τάλαντα ἧκεν εἰς τὴν
9 Σάμον. Θρασύβουλος δὲ σὺν τριάκοντα ναυσὶν ἐπὶ Θρᾴκης ᾤχετο, ἐκεῖ δὲ τά τε ἄλλα χωρία τὰ πρὸς Λακεδαιμονίους μεθεστηκότα κατεστρέψατο καὶ Θάσον ἔχουσαν
10 κακῶς ὑπό τε τῶν πολέμων καὶ στάσεων καὶ λιμοῦ. Θράσυλλος δὲ σὺν τῇ ἄλλῃ στρατιᾷ εἰς Ἀθήνας κατέπλευσε· πρὶν δὲ ἥκειν αὐτόν, οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο Ἀλκιβιάδην μὲν φεύγοντα καὶ Θρασύβουλον ἀπόντα,
11 Κόνωνα δὲ τρίτον ἐκ τῶν οἴκοθεν. Ἀλκιβιάδης δ᾽ ἐκ τῆς Σάμου ἔχων τὰ χρήματα κατέπλευσεν εἰς Πάρον ναυσὶν εἴκοσιν, ἐκεῖθεν δ᾽ ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ κατασκοπὴν τῶν τριήρων, ἃς ἐπυνθάνετο Λακεδαιμονίους αὐτόθι παρασκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατά-

---

§ 7. *ἐπειδὴ δ᾽ ἐνιαυτοὶ τρεῖς ἦσαν*] ἀφοῦ παρῆλθον τρία ἔτη.—*ἐπειδὴ οὐ παρὰ βασιλέα*] ἐνν. ἄγειν ἐξείη (τοῦ ἔξεστι).—*Κίος*] πόλις τῆς Μυσίας, ἥτις εἶναι ἐπαρχία τῆς Μ. Ἀσίας.

§ 8. *ἀνήχθη*]=ἀνηγάγετο, τοῦ ἀνάγομαι.—*εἰς τὸν Κεραμικὸν κόλπον τῆς Καρίας*] εἰς τὸν κόλπον τῆς Κῶ.

§ 9. *κατεστρέψατο*] καθυπέταξε.—*ὑπό τε τῶν πολέμων καὶ στάσεων καὶ λιμοῦ*] τὸ αἴτιον τοῦ *κακῶς ἔχουσαν*=κακουχουμένην, κακοπαθοῦσαν.

§ 10. *φεύγοντα*]=ὄντα φυγάδα (ἐξόριστον)· συντ. § 37, 1, σημ. 1. *ἐκ τῶν οἴκοθεν*] κατὰ πρόληψιν ἀντὶ ἐκ τῶν οἴκοι.

§ 11. *εὐθὺ Γυθείου*] κατ᾽ εὐθεῖαν εἰς τὸ Γύθειον τὸ ἐπίνειον τῆς Σπάρ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλου, ὅπως ἡ πόλις πρὸς αὐτὸν ἔχει. Ἐπεὶ δ' ἑώρα 12
ἑαυτῷ εὔνουν οὖσαν καὶ στρατηγὸν αὐτὸν ἡρημένους καὶ
ἰδίᾳ μεταπεμπομένους τοὺς ἐπιτηδείους, κατέπλευσεν εἰς
τὸν Πειραιᾶ ἡμέρᾳ, ᾗ Πλυντήρια ἦγεν ἡ πόλις, τοῦ ἕ-
δους κατακεκαλυμμένου τῆς Ἀθηνᾶς, ὅ τινες οἰωνίζοντο
ἀνεπιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ πόλει· Ἀθηναίων
γὰρ οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐδενὸς σπουδαίου ἔργου
τολμῆσαι ἂν ἅψασθαι. Καταπλέοντος δ' αὐτοῦ ὅ,τε ἐκ τοῦ 13
Πειραιῶς καὶ ὁ ἐκ τοῦ ἄστεως ὄχλος ἠθροίσθη πρὸς τὰς
ναῦς, θαυμάζοντες καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην
λέγοντες [ὅτι] οἱ μὲν ὡς κράτιστος εἴη τῶν πολιτῶν καὶ
μόνος [ἀπελογήθη ὡς] οὐ δικαίως φύγοι, ἐπιβουλευθεὶς

της.—*ἐπὶ κατασκοπὴν*] ἵνα κατασκοπεύσῃ.—*καὶ τοῦ οἴκαδε κατάπλου*]=καὶ ἐπὶ κατασκοπήν, ὅπως τοῦ οἴκαδε κατάπλου ἡ πόλις ἔχει πρὸς αὐτόν, δηλ. ποίαν γνώμην ἔχει ἡ πόλις περὶ τοῦ κατάπλου (τῆς ἐπιστροφῆς) αὐτοῦ εἰς τὴν πατρίδα.—*ὅπως ἡ πόλις ἔχει*] πλαγία ἐρώτησις ἐκ τοῦ ἐπὶ κατασκοπὴν (=κατασκεψόμενος).

§ 12. *ἡρημένους*] ἐνν. τοὺς πολίτας ἐκ τοῦ ἀνωτέρω πόλις· σχῆμα κατὰ σύνεσιν ἢ κατὰ τὸ νοούμενον.—*μεταπεμπομένους τοὺς ἐπιτηδείους*] ὅτι προσεκάλουν αὐτὸν οἱ φίλοι του.—*Πλυντήρια*] ἑορτὴ ἐν Ἀθήναις τελουμένη τῇ 10 Ἰουν. εἰς τιμὴν τῆς Ἀθηνᾶς, καθ' ἣν ἐξέδυον τὸ ἄγαλμα τῆς Ἀθηνᾶς τὰ ἱμάτια καὶ κοσμήματα, ἵνα πλύνωσιν αὐτά, καὶ περιεκάλυπτον αὐτό. Ἐθεωρεῖτο δὲ ὡς ἀποῦσα ἡ Ἀθηνᾶ καὶ γενικὸν ἦν πένθος τὴν ἡμέραν ταύτην, ἥτις ἐθεωρεῖτο ὡς ἀποφράς.—*ἕδος*] ἄγαλμα. *οἰωνίζοντο*] ἐθεώρουν ὡς σημεῖον *ἀνεπιτήδειον*] οὐχὶ καλόν, ἀπαίσιον δι' αὐτὸν καὶ τὴν πόλιν.—*Ἀθηναίων γὰρ κλπ*]=οὐδεὶς γὰρ Ἀθηναίων τολμῆσαι ἂν ἅψασθαι ἔργου οὐδενὸς σπουδαίου ἐν ταύτῃ τῇ ἡμέρᾳ.

§ 13. *ἄστυ*] ἡ πόλις τῶν Ἀθηνῶν ἐν ἀντιθέσει πρὸς τὸν Πειραιᾶ.—*θαυμάζοντες καὶ βουλόμενοι.... λέγοντες*] ἀναφέρονται εἰς τὸ ὄχλος, σχῆμα κατὰ σύνεσιν, διότι εἶναι περιληπτικόν.—*ὡς κράτιστος εἴη....καὶ φύγοι*] κατ' εὐκτ. διότι ἐξαρτῶνται ἐξ ἱστορικοῦ χρόνου. — *ἐπιβουλευθεὶς*] ἐνν. φύγοι.—*ἐκείνου*] τοῦ Ἀλκιβ.—*ἔλαττον δυναμένων*]=ἐλάττω δύναμιν, (ἐπιρροὴν) ἐχόντων.—*ἀπὸ τῶν αὐτου*] μὲ τὰ ἰδικά του μέσα.—*ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ*] μὲ τὰς δυνάμεις τῆς πόλεως· τὸ δυνατὸν=ἡ δύναμις· συν. § 18, 1, ς΄.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ὑπὸ τῶν ἔλαττον ἐκείνου δυναμένων μοχθηρότερά τε
λεγόντων καὶ πρὸς τὸ αὑτῶν ἴδιον κέρδος πολιτευόντων
ἐκείνου ἀεὶ τὸ κοινὸν αὔξοντος καὶ ἀπὸ τῶν αὑτοῦ καὶ
14 ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ. Ἐθέλοντος δὲ τότε κρίνε-
σθαι παραχρῆμα τῆς αἰτίας ἄρτι γεγενημένης ὡς ἠσεβη-
κότος εἰς τὰ μυστήρια ὑπερβαλλόμενοι οἱ ἐχθροὶ τὰ δο-
κοῦντα δίκαια εἶναι ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πατρί-
15 δος· ἐν ᾧ χρόνῳ ὑπὸ ἀμηχανίας δουλεύων ἠναγκάσθη
μὲν θεραπεύειν τοὺς ἐχθίστους κινδυνεύων ἀεὶ παρ' ἑκά-
στην ἡμέραν ἀπολέσθαι· τοὺς δὲ οἰκειοτάτους πολίτας τε
καὶ συγγενεῖς καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνου-
16 σαν οὐκ εἶχεν, ὅπως ὠφελοίη φυγῇ ἀπειργόμενος· οὐκ
ἔφασαν δὲ τῶν οἵωνπερ αὐτὸς ὄντων εἶναι καινῶν δεῖσθαι
πραγμάτων οὐδὲ μεταστάσεως· ὑπάρχειν γὰρ ἐκ τοῦ δή-
μου αὐτῷ μὲν τῶν τε ἡλικιωτῶν πλέον ἔχειν τῶν τε πρε-

---

§ 14. *ἄρτι γεγενημένης*] ἐπεξήγησις τοῦ τότε παραχρῆμα·—*κρίνεσθαι τῆς αἰτίας*] ἡ γενικὴ τοῦ αἰτίου ἢ τοῦ ἐγκλήματος. Αἰτία (=κατηγορία) διαφέρει κατηγορίας· «αἰτία μὲν γὰρ φίλων ἀνδρῶν ἐστιν ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων» Θουκδ. 1, 69, 6. — *ὡς ἠσεβηκότος εἰς τὰ μυστήρια*] τὰ Ἐλευσίνια. Κατηγορήθη ὁ Ἀλκιβ. ὅτι ἐμπαικτικῶς ἐμιμεῖτο τὰ μυστήρια ἐν οἰκίαις μετὰ φίλων καὶ ὅτι ἔκοψε νύκτα τὰς κεφαλὰς τῶν Ἑρμῶν.—*ὑπερβαλλόμενοι*] ἀναβαλόντες.—*τὰ δοκοῦντα δίκαια εἶναι*] ὅ,τι ἐφαίνετο ὅτι ἦτο δίκαιον, δηλ. νὰ γείνῃ τότε εὐθὺς ἡ δίκη.

§ 15. *τοὺς ἐχθίστους*] Σπαρτιάτας καὶ Πέρσας. *παρ' ἑκάστην ἡμέραν*] συνηθέστερον καθ' ἑκάστην ἡμέραν. — *ὅπως ὠφελοίη*] συντ. § 58, 5. — *ἀπειργόμενος*] ἐπειδὴ ἐμποδίζετο ὑπὸ τῆς ἐξορίας.

§ 16. *οὐκ ἔφασαν κλπ.*] ἔφασαν (τὸ) δεῖσθαι καινῶν πραγμάτων καὶ μεταστάσεως οὐκ εἶναι τῶν ὄντων (τοιούτων), οἷός περ αὐτὸς (ἐστι)· δηλ. ἔλεγον, ὅτι τοιοῦτοι ἄνδρες, ὁποῖος αὐτὸς εἶναι, δὲν ἔχουσιν ἀνάγκην νεωτερισμῶν καὶ μεταβολῆς τῶν πραγμάτων.—*ὑπάρχειν ἐκ τοῦ δήμου αὐτῷ μὲν*] συμβαίνει εἰς αὐτὸν μὲν ἐκ τοῦ δημοκρατικοῦ πολιτεύματος· τὸ ὑπάρχειν ἀπρόσωπον ἐνταῦθα ἐκ τοῦ ἔφασαν. — *πλέον ἔχειν*]= πλεονεκτῖν, ὑπερτερεῖν, ἀντίθετον τοῦ—*ἐλαττοῦσθαι*=ἔλαττον ἔχειν, μειο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σβυτέρων μὴ ἐλαττοῦσθαι, τοῖς δ' αὐτοῦ ἐχθροῖς τοιού-
τοις δοκεῖν εἶναι, οἵοις περιμένειν μὲν πρότερον, ὕστερον
δὲ δυνασθεῖσιν ἀπολλύναι τοὺς βελτίστους, αὐτοὺς δὲ μό-
νους λειφθέντας δι' αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν πο-
λιτῶν, ὅτι ἑτέροις βελτίοσιν οὐκ εἶχον χρῆσθαι· οἱ δέ, 17
ὅτι τῶν παροιχομένων αὐτοῖς κακῶν μόνος αἴτιος εἴη τῶν
τε φοβερῶν ὄντων τῇ πόλει γενέσθαι μόνος κινδυνεῦσαι
ἡγεμὼν καταστῆναι. Ἀλκιβιάδης δὲ πρὸς τὴν γῆν ὁρμι- 18
σθεὶς ἀπέβαινε μὲν οὐκ εὐθέως φοβούμενος τοὺς ἐχθρούς·
ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώματος ἐσκόπει τοὺς αὐτοῦ
ἐπιτηδείους, εἰ παρείησαν. Κατιδὼν δὲ Εὐρυπτόλεμον 19
τὸν Πεισιάνακτος, ἑαυτοῦ δὲ ἀνεψιόν, καὶ τοὺς ἄλλους
οἰκείους καὶ τοὺς φίλους μετ' αὐτῶν τότε ἀποβὰς ἀναβαί-
νει εἰς τὴν πόλιν μετὰ τῶν παρεσκευασμένων, εἴ τις
ἅπτοιτο, μὴ ἐπιτρέπειν. Ἐν δὲ τῇ βουλῇ καὶ τῇ ἐκκλη- 20
σίᾳ ἀπολογησάμενος, ὡς οὐκ ἠσεβήκει, εἰπὼν δέ, ὡς
ἠδίκηται, λεχθέντων δὲ καὶ ἄλλων τοιούτων καὶ οὐδενὸς
ἀντειπόντος διὰ τὸ μὴ ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν

---

νεκτεῖν.—*τοῖς δ' αὐτοῦ ἐχθροῖς*] ἐνν. ὑπάρχειν ἐκ τοῦ δήμου δοκεῖν εἶναι τοιούτοις, οἵοις περιμένειν (=ὥστε νὰ περιμένωσιν).—*ὕστερον δὲ*] πάλιν ἐνν. ὑπάρχειν ἐκ τοῦ δήμου.—*δυνασθεῖσιν*] ἀφοῦ ἔγειναν δυνατοί· γραμμ. 84, 6.—*αὐτοὺς δὲ μόνους λειφθέντας*] ἀφοῦ ἔμειναν αὐτοὶ μόνοι οἱ ἐχθροὶ αὐτοῦ) κατ' αἰτ. ἀντὶ δοτ. ὡς ὑποκείμ. τοῦ ἀγαπᾶσθαι.—*ὅτι... οὐκ εἶχον χρῆσθαι*] ἐπεξήγησις τοῦ δι' αὐτὸ τοῦτο.

§ 17. *οἱ δὲ*] ἐνν. λέγοντες καὶ εἶναι ἀπόδοσις τοῦ ἐν § 13 *λέγοντες οἱ μὲν—τῶν παροιχομένων*] τῶν περασμένων, τῶν προτέρων, ἐν ἀντιθέσει πρὸς τὸ—*τῶν τε φοβερῶν....γενέσθαι*]=φοβερῶν μὴ γένηται, δηλ. τῶν κακῶν, ἃ φόβος ἦν μήπως γείνωσιν εἰς τὴν πόλιν ἐν τῷ μέλλοντι.—*ἡγεμὼν*]=αἴτιος.

§ 18. *ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν*] κατὰ σχῆμα προλήψεως ἀντὶ ἐσκόπει, εἰ παρείησαν οἱ αὐτοῦ ἐπιτήδειοι.—*εἰ παρείησαν*] πλαγία ἐρώτησις κατ' εὐκτ. ὡς ἐξαρτωμένη ἐξ ἱστορ. χρόνου.

§ 19. *μὴ ἐπιτρέπειν*] ἐκ τοῦ παρεσκευασμένων.—*εἴ τις ἅπτοιτο*] ἄν τις ἤθελεν ἐγγίσῃ, ἤθελε προσβάλῃ αὐτόν.

§ 20. *ἀνασχέσθαι ἂν τὴν ἐκκλησίαν*]=εἰ ἀντεῖπεν, οὐκ ἂν ἠνέσχετο ἡ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀναῤῥηθεὶς ἁπάντων ἡγεμὼν αὐτοκράτωρ ὡς οἷός τε ὢν
σῶσαι τὴν προτέραν τῆς πόλεως δύναμιν πρῶτον μὲν τὰ
μυστήρια τῶν Ἀθηναίων κατὰ θάλατταν ἀγόντων διὰ
τὸν πόλεμον κατὰ γῆν ἐποίησεν ἐξαγαγὼν τοὺς στρατι-
21 ώτας ἅπαντας· μετὰ δὲ ταῦτα κατελέξατο στρατιάν, ὁπλί-
τας μὲν πεντακοσίους καὶ χιλίους, ἱππέας δὲ πεντήκοντα
καὶ ἑκατόν, ναῦς δ' ἑκατόν. Καὶ μετὰ τὸν κατάπλουν τε-
τάρτῳ μηνὶ ἀνήχθη ἐπ' Ἄνδρον ἀφεστηκυῖαν τῶν Ἀ-
θηναίων καὶ μετ' αὐτοῦ Ἀριστοκράτης καὶ Ἀδείμαντος
ὁ Λευκολοφίδου συνεπέμφθησαν ᾑρημένοι κατὰ γῆν
22 στρατηγοί. Ἀλκιβιάδης δὲ ἀπεβίβασε τὸ στράτευμα τῆς
Ἀνδρίας [χώρας] εἰς Γαύριον· ἐκβοηθήσαντας δὲ τοὺς
Ἀνδρίους ἐτρέψαντο καὶ κατέκλεισαν εἰς τὴν πόλιν καί
τινας ἀπέκτειναν οὐ πολλοὺς καὶ τοὺς Λάκωνας, οἳ αὐ-
23 τόθι ἦσαν. Ἀλκιβιάδης δὲ τροπαιόν τε ἔστησε καὶ μείνας
αὐτοῦ ὀλίγας ἡμέρας ἔπλευσεν εἰς Σάμον κἀκεῖθεν ὁρ-
μώμενος ἐπολέμει.

1 Κεφ. Ε'. Οἱ δὲ Λακεδαιμόνιοι πρότερον τούτων οὐ

---

ἐκκλησία· γραμμ. § 72, 3, α.—*ἀναῤῥηθεὶς*] ἀναγορευθείς· ὁ ἐνεστ. ἀναγορεύομαι.—*ἁπάντων*] ἐνν. τῶν πραγμάτων=ἁπασῶν τῶν δυνάμεων.—*ὡς οἷός τε ὢν*] διότι κατὰ τὴν γνώμην των ἦτο ἱκανὸς νὰ σώσῃ· τὸ ὡς μετὰ αἰτιολ. μετοχ. σημαίνει αἰτίαν κατὰ τὴν γνώμην τοῦ ὑποκειμένου. *προτέραν*] ἀφ' ὅτου δήλ. οἱ Λακεδαιμόνιοι κατέλαβον τὴν Δεκέλειαν.—*τὰ μυστήρια*] τὰ Ἐλευσίνια, τὰ ὁποῖα ἐτελοῦντο κατὰ τὰς ἀρχὰς τοῦ Ὀκτωβρίου.—*κατὰ γῆν ἐποίησεν*] ἐνν. ἄγεσθαι.

§ 21. *κατελέξατο στρατιάν*] ἴδε 1, 1, 34.—*ὁπλίτας μὲν . . . ἱππέας δε*] παράθεσις τοῦ στρατιὰν ὁρίζουσα ἀκριβέστερον καὶ σαφηνίζουσα αὐτό.

§ 22. *ἐτρέψαντο*] οἱ στρατιῶται τοῦ Ἀλκιβ. ἐνν. ἐκ τοῦ ἀνωτέρω τὸ στράτευμα κατὰ σύνεσιν.

§ 23. *αὐτοῦ*] ἐν Ἄνδρῳ ἐπίρ. τοπικόν.

Κεφ. Ε' § 1. *πρότερον τούτων*] πρὶν ἐκπλεύσῃ ὁ Ἀλκιβ. εἰς Ἄνδρον, τὸ φθινόπωρον τοῦ 408 π. Χ.—*τῆς ναυαρχίας παρεληλυθυίας*] διότι ἡ ναυαρχία διήρκει ἓν μόνον ἔτος.—*μέχρι οὗ*] ἐνν. χρόνου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλῷ χρόνῳ Κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας Λύσανδρον ἐξέπεμψαν ναύαρχον. Ὁ δὲ ἀφικόμενος εἰς Ῥόδον καὶ ναῦς ἐκεῖθεν λαβών, εἰς Κῶ καὶ Μίλητον ἔπλευσεν, ἐκεῖθεν δ' εἰς Ἔφεσον καὶ ἐκεῖ ἔμεινε ναῦς ἔχων ἑβδομήκοντα, μέχρι οὗ Κῦρος εἰς Σάρδεις ἀφίκετο. Ἐπεὶ δ' ἧκεν, ἀνέβη πρὸς αὐτὸν σὺν τοῖς ἐκ
Λακεδαίμονος πρέσβεσιν. Ἐνταῦθα δὴ κατά τε τοῦ Τισ- 2
σαφέρνους ἔλεγον, ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε Κύρου ἐδέοντο ὡς προθυμοτάτου πρὸς τὸν πόλεμον γενέσθαι. Κῦ- 3
ρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι καὶ αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι, ἀλλὰ πάντα ποιήσειν· ἔχων δὲ ἥκειν τάλαντα πεντακόσια· ἐὰν δὲ ταῦτα ἐκλίπῃ, τοῖς ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν δὲ καὶ ταῦτα, καὶ τὸν θρόνον κατακόψειν, ἐφ' οὗ ἐκάθητο, ὄντα
ἀργυροῦν καὶ χρυσοῦν. Οἱ δὲ ταῦτ' ἐπῄνουν καὶ ἐκέλευον 4
αὐτὸν τάξαι τῷ ναύτῃ δραχμὴν Ἀττικὴν διδάσκοντες, ὅτι, ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν Ἀθηναίων ναῦται
ἀπολείψουσι τὰς ναῦς καὶ μείω χρήματα ἀναλώσει. Ὁ 5
δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, οὐ δυνατὸν δ' εἶναι, παρ' ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ, ἄλλα ποιεῖν. Εἶναι δὲ

---

§ 2. *ἐπεὶ δ' ἧκεν*] ὁ Κῦρος.—*ἀνέβη*] ὁ Λύσανδρος.—*ἃ πεποιηκὼς εἴη*] δηλ. τὴν ἀστασίαν αὐτοῦ πρός τε τοὺς Ἀθηναίους καὶ πρὸς τοὺς Σπαρτιάτας· ἡ εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου *ἔλεγον*.—*Κύρου ἐδέοντο ὡς προθυμοτάτου γενέσθαι*] συντ. 41, 6΄.

§ 3. *ἐπεσταλκέναι . . . οὐκ ἄλλ' ἐγνωκέναι*]=ὅτι ἐπεσταλκὼς εἴη . . . ἐγνωκὼς εἴη· δηλ. ὅτι καὶ ὁ πατήρ του ταῦτα τοῦ εἶχε παραγγείλῃ καὶ αὐτὸς δὲν εἶχεν ἄλλην γνώμην.—*ἥκειν*]=ἐληλυθέναι, ἐκ τοῦ ἐνν. ἔφη.—*ἐὰν δὲ καὶ ταῦτα*] ἐνν. ἐκλίπῃ· ταῦτα=τὰ ἴδια.

§ 4. *τῷ ναύτῃ δραχμὴν*] εἰς ἕκαστον ναύτην μίαν δραχμήν, ἐνῷ συνήθως ἐλάμβανον ἡμίσειαν (τριώβολον)· συντ. § 20, 1, α΄, 2.—*μείω χρήματα*] διότι ὁ πόλεμος ἤθελε τελειώσῃ ταχύτερον.

§ 5. *οὐ δυνατὸν . . . ποιεῖν*]=ἔφη οὐ δυνατὸν εἶναι (αὐτῷ) ποιεῖν ἄλλα παρὰ (ταῦτα), ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ (ποιεῖν).—*τριάκοντα μνᾶς τοῦ*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τὰς συνθήκας οὕτως ἐχούσας, τριάκοντα μνᾶς ἑκάστῃ νηὶ τοῦ μηνὸς διδόναι, ὁπόσας ἂν βούλωνται τρέφειν
6 Λακεδαιμόνιοι. Ὁ δὲ Λύσανδρος τότε μὲν ἐσιώπησε· μετὰ δὲ τὸ δεῖπνον, ἐπεὶ αὐτῷ προπιὼν ὁ Κῦρος ἤρετο, τί ἂν μάλιστα χαρίζοιτο ποιῶν, εἶπεν ὅτι, Εἰ πρὸς τὸν μισθὸν
7 ἑκάστῳ ναύτῃ ὀβολὸν προσθείης. Ἐκ δὲ τούτου τέτταρες ὀβολοὶ ἦν ὁ μισθός, πρότερον δὲ τριώβολον. Καὶ τόν τε προοφειλόμενον ἀπέδωκε καὶ ἔτι μηνὸς προέδωκεν, ὥστε
8 τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. Οἱ δὲ Ἀθηναῖοι ἀκούοντες ταῦτα ἀθύμως μὲν εἶχον, ἔπεμπον δὲ πρὸς τὸν
9 Κῦρον πρέσβεις διὰ Τισσαφέρνους. Ὁ δὲ οὐ προσεδέχετο δεομένου Τισσαφέρνους καὶ λέγοντος, ἅπερ αὐτὸς ἐποίει πεισθεὶς ὑπ᾽ Ἀλκιβιάδου, σκοπεῖν, ὅπως τῶν Ἑλλήνων μηδὲ οἵτινες ἰσχυροὶ ὦσιν, ἀλλὰ πάντες ἀσθενεῖς
10 αὐτοὶ ἐν αὑτοῖς στασιάζοντες. Καὶ ὁ μὲν Λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο, ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ οὔσας ναῦς ἐνενήκοντα ἡσυχίαν ἦγεν ἐπισκευάζων
11 καὶ ἀναψύχων αὐτάς. Ἀλκιβιάδης δὲ ἀκούσας Θρασύ-

---

*μηνός*] ἤτοι μίαν μνᾶν τὴν ἡμέραν. Ἑκάστη λοιπὸν ναῦς εἶχε πλήρωμα 200 ἀνδρῶν· διότι ἕκαστος ναύτης ἐλάμβανεν ἡμίσειαν δραχμὴν (τριώβολον) τὴν ἡμέραν.—*ὁπόσας ἂν βούλωνται τρέφειν*] κατὰ σύνεσιν ἀντὶ τοῦ ὁπόσων ἂν νεῶν τοὺς ναύτας βούλωνται τρέφειν.

§ 6. *τί ἂν μάλιστα χαρίζοιτο ποιῶν*]=τί εἰ ποιοίη, χαρίζοιτο ἄν· συντ. 58, 5.—*εἰ . . . προσθείης*] ἡ ἀπόδοσις ἐννοεῖται ἐκ τῶν ἡγουμένων, *χαρίζοιο ἄν*.

§ 7. *ἐκ δέ τούτου*] ἔκτοτε δέ.—*τριώβολον*] τρεῖς ὀβολοὶ (ἡμίσεια δραχμή).—*προέδωκεν*] ἔδωκε προκαταβολικῶς.

§ 9. *δεομένου Τισ. καί λέγοντος*] ἂν καὶ παρεκάλει τὸν Κῦρ. ὁ Τισ. καὶ ἔλεγεν.—*μηδὲ οἵτινες*]=μηδένες οἱτινεσοῦν, δηλ. διόλου κανείς.—*σκοπεῖν ὅπως μὴ . . . ὦσιν*] ἐπεξήγησις τοῦ ἅπερ αὐτὸς ἐποίει πρβλ. Θουκ. 8, 46).—*ἐν αὑτοῖς*]=ἀλλήλοις· συντ. § 21, σημ. 1.

§ 10. *ἡσυχίαν ἦγε*] καὶ ἡσυχίαν εἶχεν=ἡσύχαζεν.

§ 11. *ἀποτειχίζειν*]=περιτειχίζειν ἢ ἀποτειχίζειν.—*ἐπὶ ταῖς ναυσίν*] συντ. § 37, 7, α΄.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βουλον ἔξω Ἑλλησπόντου ἥκοντ' ἀποτειχίζειν Φώκαιαν διέπλευσε πρὸς αὐτὸν καταλιπὼν ἐπὶ ταῖς ναυσὶν Ἀντίοχον τὸν αὑτοῦ κυβερνήτην, ἐπιτείλας μὴ ἐπιπλεῖν ἐπὶ τὰς Λυσάνδρου ναῦς. Ὁ δὲ Ἀντίοχος τῇ τε αὑτοῦ νηὶ 12
καὶ ἄλλῃ ἐκ Νοτίου εἰς τὸν λιμένα τῶν Ἐφεσίων εἰσπλεύσας παρ' αὐτὰς τὰς πρῴρας τῶν Λυσάνδρου νεῶν παρέπλει. Ὁ δὲ Λύσανδρος τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν 13
καθελκύσας ἐδίωκεν αὐτόν· ἐπεὶ δὲ οἱ Ἀθηναῖοι τῷ Ἀντιόχῳ ἐβοήθουν πλείοσι ναυσί, τότε δὴ . . . καὶ πάσας συντάξας ἐπέπλει. Μετὰ δὲ ταῦτα καὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ Νοτίου καθελκύσαντες τὰς λοιπὰς τριήρεις ἀνήχθησαν, ὡς ἕκαστος ἤνυσεν. Ἐκ τούτου δ' ἐναυμάχησαν οἱ μὲν 14
ἐν τάξει, οἱ δὲ Ἀθηναῖοι διεσπαρμέναις ταῖς ναυσί, μέχρι οὗ ἔφυγον ἀπολέσαντες πεντεκαίδεκα τριήρεις. Τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζωγρήθησαν. Λύσανδρος δὲ τάς τε ναῦς ἀναλαβὼν καὶ τροπαῖον στήσας ἐπὶ τοῦ Νοτίου διέπλευσεν εἰς Ἔφεσον, οἱ δὲ Ἀθηναῖοι εἰς Σάμον. Μετὰ δὲ ταῦτα Ἀλκιβιάδης ἐλθὼν εἰς Σάμον 15
ἀνήχθη ταῖς ναυσὶν ἁπάσαις ἐπὶ τὸν λιμένα τῶν Ἐφεσίων καὶ πρὸ τοῦ στόματος παρέταξεν, εἴ τις βούλοιτο ναυμαχεῖν. Ἐπειδὴ δὲ Λύσανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλαττοῦσθαι, ἀπέπλευσεν εἰς Σάμον. Λακεδαιμόνιοι δὲ ὀλίγῳ ὕστερον αἱροῦσι Δελφίνιον καὶ Ἠι-

§ 13. *συντάξας*] παρατάξας εἰς μάχην.—*ὡς ἕκαστος ἤνυσεν*] ὅπως ἕκαστος ἔτυχε νὰ ἐκπλεύσῃ, δηλ. ἀτάκτως=διεσπαρμέναις ταῖς ναυσὶν § 14, ὅπερ ἀντιτίθεται τῷ ἡγουμένῳ *ἐν τάξει*.

§ 14. *οἱ μέν*] Λακεδαιμόνιοι.—*οἱ δέ*] ὀλίγοι δὲ ἄλλοι.—*τὰς ναῦς*] τὰς ἀνωτέρω πεντεκαίδεκα τριήρεις τῶν Ἀθηναίων.

§ 15. *πρὸ τοῦ στόματος*] ἔμπροσθεν τῆς εἰσόδου τοῦ λιμένος.—*εἴ τις βούλοιτο*] ὑπονοεῖται τὸ πειρώμενος· πλαγία ἐρώτησις.—*διὰ τὸ . . . ἐλαττοῦσθαι*] διότι εἶχε πολὺ ὀλιγώτερα πλοῖα.—*Δελφίνιον*] φρούριον ἐν Χίῳ.—*Ἠιόνα*] ἐπίνειον τῆς Ἀμφιπόλεως παρὰ τὰς ἐκβολὰς τοῦ Στρυμόνος ποταμοῦ ἐν Θράκῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

16 όνα. Οἱ δὲ ἐν οἴκῳ Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη ἡ ναυ-
μαχία, χαλεπῶς εἶχον τῷ Ἀλκιβιάδῃ οἰόμενοι δι' ἀμέ-
λειάν τε καὶ ἀκράτειαν ἀπολωλεκέναι τὰς ναῦς καὶ στρα-
τηγοὺς εἵλοντο ἄλλους δέκα, Κόνωνα, Διομέδοντα, Λυ-
σίαν, Περικλέα, Ἐρασινίδην, Ἀριστοκράτην, Ἀρχέστρα-
17 τον, Πρωτόμαχον, Θράσυλλον, Ἀριστογένην. Ἀλκιβιά-
δης μὲν οὖν πονήρως καὶ ἐν τῇ στρατιᾷ φερόμενος λαβὼν
τριήρη μίαν ἀπέπλευσεν εἰς Χεῤῥόνησον εἰς τὰ ἑαυτοῦ
18 τείχη. Μετὰ δὲ ταῦτα Κόνων ἐκ τῆς Ἄνδρου σὺν αἷς
εἶχε ναυσὶν εἴκοσι ψηφισαμένων Ἀθηναίων εἰς Σάμον
ἔπλευσεν ἐπὶ τὸ ναυτικόν. Ἀντὶ δὲ Κόνωνος εἰς Ἄνδρον
19 ἔπεμψαν Φανοσθένην τέτταρας ναῦς ἔχοντα. Οὗτος πε-
ριτυχὼν δυοῖν τριήροιν Θουρίαιν ἔλαβεν αὐτοῖς ἀνδράσι·
καὶ τοὺς μὲν αἰχμαλώτους ἅπαντας ἔδησαν Ἀθηναῖοι, τὸν
δὲ ἄρχοντα αὐτῶν Δωριέα ὄντα μὲν Ῥόδιον, πάλαι δὲ
φυγάδα ἐξ Ἀθηνῶν καὶ Ῥόδου ὑπὸ Ἀθηναίων κατε-
ψηφισμένων αὐτοῦ θάνατον καὶ τῶν ἐκείνου συγγενῶν
πολιτεύοντα παρ' αὐτοῖς ἐλεήσαντες ἀφεῖσαν οὐδὲ χρή-
20 ματα πραξάμενοι. Κόνων δ' ἐπεὶ εἰς τὴν Σάμον ἀφίκετο
καὶ τὸ ναυτικὸν κατέλαβεν ἀθύμως ἔχον, συμπληρώσας

---

§ 16. *ἐν οἴκῳ*]=οἴκοι, ἐν Ἀθήναις.—*χαλεπῶς εἶχον*]=ἐχαλέπαινον, ὠργίζοντο.—*δι' ἀκράτειαν*] δι' ἀκολασίαν.

§ 17. *πονήρως . . φερόμενος*] ἐπειδὴ καὶ εἰς τὸ στράτευμα εἶχε κακὴν ὑπόληψιν.—*εἰς τὰ ἑαυτοῦ τείχη*] εἰς τὸ φρούριόν του. εἰς τὸν πύργον του ἐν Θρᾳκικῇ χερσονήσῳ.

§ 18. *σὺν αἷς εἶχε ναυσὶν*]=σὺν ταῖς ναυσίν, ἃς εἶχε, καθ' ἕλξιν.—*ἐπὶ τὸ ναυτικόν*] ἵνα ἀναλάβῃ τὴν διοίκησιν τοῦ ναυτικοῦ.

§ 19. *δυοῖν τριήροιν*] δοτ. ἐκ τοῦ περιτυχών·—*αὐτοῖς ἀνδράσιν*]=σὺν αὐτοῖς ἀνδρ.—*φυγάδα . . . ὑπὸ Ἀθηναίων*] ἐξορισθέντα ὑπὸ Ἀθ.—*κατεψηφισμένων αὐτοῦ θάνατον*] συντ. § 45. 6', 6.—*πολιτεύοντα*] ὅστις εἶχε δικαιώματα πολίτου —*παρ' αὐτοῖς*] τοῖς Θουρίοις. κατὰ σύνεσιν ἐκ τοῦ ἀνωτέρω Θουρίαιν.—*οὐδὲ χρήματα πραξάμενοι*] χωρὶς οὐδὲ χρήματα νὰ εἰσπράξωσι παρ' αὐτοῦ.

§ 20. *ἀθύμως ἔχον*] ἕνεκα τῆς ἐν § 14 ἥττης.—*ἄλλη . . . τῆς χώρας*]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τριήρεις ἑβδομήκοντα ἀντὶ τῶν προτέρων οὐσῶν πλέον ἢ ἑκατὸν καὶ ταύταις ἀναγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν ἄλλοτε ἄλλῃ ἀποβαίνων τῆς τῶν πολεμίων χώρας ἐλῄζετο. [Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι εἰς 21
Σικελίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι καὶ πεζῆς στρατιᾶς δώδεκα μυριάσιν εἷλον Ἀκράγαντα λιμῷ μάχῃ μὲν ἡττηθέντες, προσκαθεζόμενοι δὲ ἑπτὰ μῆνας.]

Κεφ. ς΄. Τῷ δ᾽ ἐπιόντι ἔτει [ᾧ ἥ τε σελήνη ἐξέλιπεν 406 π. Χ.
ἑσπέρας καὶ ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις ἐνεπρήσθη, Πιτύα μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλλίου Ἀθήνησιν,] οἱ Λακεδαιμόνιοι τῷ Λυσάνδρῳ παρεληλυθότος ἤδη τοῦ χρόνου [καὶ τῷ πολέμῳ τεττάρων καὶ εἴκοσιν ἐτῶν] ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλλικρατίδαν. Ὅτε 2
δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς ἔλεγε τῷ Καλλικρατίδᾳ, ὅτι θαλαττοκράτωρ τε παραδιδοίη καὶ ναυμαχίᾳ νενικηκώς. Ὁ δὲ αὐτὸν ἐκέλευσεν ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, [οὗ ἦσαν αἱ τῶν Ἀθηναίων νῆες,] ἐν Μιλήτῳ παραδοῦναι τὰς ναῦς καὶ ὁμολογήσειν θαλαττοκρατεῖν. Οὐ φαμένου δὲ τοῦ Λυσάνδρου 3

---

εἰς ἄλλο μέρος τῆς χώρας τῶν ἐχθρῶν· ἡ γεν. διαιρετικὴ ἐκ τοῦ ἄλλῃ.= *ἐλῄζετο*] ἐλεηλάτει αὐτήν.

§ 21. *προσκαθεζόμενοι*] ἀφοῦ ἐπολιόρκησαν· γραμμ. § 82.

Κεφ. ς΄ § 1. *τῷ δ᾽ ἐπιόντι ἔτει*] 406 π. Χ.—*ἡ σελήνη ἐξέλιπεν*] ἔγεινεν ἔκλειψις τῆς σελήνης.—*ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεώς*] τῆς Πολιάδος ἐπὶ τῆς Ἀκροπόλεως· λέγεται δὲ παλαιὸς κατ᾽ ἀντίθεσιν πρὸς τὸν νεώτερον Παρθενῶνα.—*ἐπὶ τὰς ναῦς*] ἵνα ἀναλάβῃ τὴν διοίκησιν τῶν πλοίων. —*Καλλικρατίδας*] πάντων ἄριστος καὶ δικαιότατος **Σπαρτιατῶν**.

§ 2. *καὶ ναυμαχίᾳ νενικηκώς*] Ἀντίοχον τὸν κυβερνήτην Ἀλκιβιάδου· ἰδὲ κεφ. Ε΄, § 14.—*οὗ*]=ὅπου.—*καὶ ὁμολογήσειν θαλαττοκρατεῖν*] καὶ τότε εἶπεν ὅτι θὰ ὁμολογήσῃ (ὁ Καλλικρ.), ὅτι εἶναι θαλασσοκράτωρ (ὁ Λύσανδρος).

§ 3. *οὐ φαμένου δὲ πολυπραγμονεῖν*]=φαμένου οὐ πολυπραγμονεῖν· ἀφοῦ


Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολυπραγμονεῖν ἄλλου ἄρχοντος, αὐτὸς ὁ Καλλικρατίδας, πρὸς αἷς παρὰ Λυσάνδρου ἔλαβε ναυσί, προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ τῶν συμμάχων πεντήκοντα ναῦς. Ταύτας δὲ πάσας ἀθροίσας οὔσας τετταράκοντα καὶ ἑκατὸν παρεσκευάζετο ὡς ἀπαντησόμενος
4 τοῖς πολεμίοις. Καταμαθὼν δ' ὑπὸ τῶν Λυσάνδρου φίλων καταστασιαζόμενος οὐ μόνον ἀπροθύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς πόλεσιν, ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ ἀεὶ διαλλάττειν τοὺς ναυάρχους πολλάκις ἀνεπιτηδείων γιγνομένων καὶ ἄρτι συνιέντων τὰ ναυτικὰ καὶ ἀνθρώποις ὡς χρηστέον οὐ γιγνωσκόντων [ἀπείρους θαλάττης πέμποντες καὶ ἀγνῶτας τοῖς ἐκεῖ κινδυνεύοιέν τι παθεῖν διὰ τοῦτο]. Ἐκ τούτου δὴ ὁ Καλλικρατίδας συγκαλέσας τοὺς Λακεδαιμονίων ἐκεῖ παρόντας ἔλεγεν αὐτοῖς τοιάδε.

5 Ἐμοὶ μὲν ἀρκεῖ οἴκοι μένειν καὶ εἴτε Λύσανδρος εἴτε ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι,

---

δὲ εἶπεν ὁ Λύσ. ὅτι δὲν ἀνακατώνεται εἰς ξένα πράγματα, δὲν σκοτίζεται, ἐνῷ ἄλλος ὁ (Καλλικρ.) εἶναι ἄρχων, (ναύαρχος).—*πρὸς αἷς . . . ἔλαβε ναυσίν*]=πρὸς ταῖς ναυσίν, ἃς ἔλαβε, καθ' ἕλξιν.—*καὶ ἄλλοθεν ἀπὸ τῶν συμμάχων*] καὶ ἀπὸ τῶν ἄλλων συμμάχων.—*ὡς ἀπαντησόμενος τοῖς πολεμίοις*] ἵνα ἐξέλθῃ εἰς ἀπάντησιν τῶν ἐχθρῶν.

§ 4. *καταμαθὼν . . . καταστασιαζόμενος*] ὅτε δὲ ἐκατάλαβεν, ὅτι οἱ φίλοι τοῦ Λυσάνδρου ἔκαμνον στάσεις κατ' αὐτοῦ.—*ὑπηρετούντων . . . διαθροούντων*] ἐπειδὴ ὑπηρέτουν . . . διεθρύλουν, διέδιδον. *μέγιστα παραπίπτοιεν*] ὅτι ἔκαμνον μέγιστα σφάλματα· συντ. § 12, 6.—*ἐν τῷ διαλλάττειν τοὺς ναυάρχους*] διὰ τῆς συχνῆς ἀλλαγῆς τῶνναυάρχων «οὐ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν» 2. 1, 7.—*ἀνεπιτηδείων γιγνομένων*] ἐπειδὴ πολλάκις γίγνονται ναύαρχοι ἀνεπιτήδειοι (ἀνίκανοι)—*καὶ ἄρτι συνιέντων*] καὶ μόλις καταλαμβάνουσιν..—*ὡς χρηστέον*] ὡς δεῖ χρῆσθαι (πῶς πρέπει νὰ μεταχειρίζωνται) ἀνθρώποις.—*ἐκ τούτου δή*] διὰ τοῦτο λοιπόν· ὁ δὴ ἐπαναλαμβάνει τὸν ἀνωτέρω διακοπέντα λόγον καταμαθών... καταστασιαζόμενος.—*Λακεδαιμονίων*] γεν. διαιρετικὴ ἐκ τοῦ παρόντας.

§ 5. *βούλεται*] ἐπιθυμεῖ, ἔχει τὴν ἀξίωσιν.—*τὸ κατ' ἐμέ*] ὅσον ἀφορᾷ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐ κωλύω τὸ κατ᾽ ἐμέ· ἐγὼ δ᾽ ὑπὸ τῆς πόλεως ἐπὶ τὰς ναῦς πεμφθεὶς οὐκ ἔχω τί ἄλλο ποιῶ ἢ τὰ κελευόμενα ὡς ἂν δύνωμαι κράτιστα. Ὑμεῖς δὲ πρὸς ἃ ἐγώ τε φιλοτιμοῦμαι καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, ἴστε γὰρ αὐτὰ ὥσπερ καὶ ἐγώ, συμβουλεύετε τὰ ἄριστα ὑμῖν δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν ἢ οἴκαδε ἀποπλεῖν ἐροῦντα τὰ καθεστῶτα ἐνθάδε.

Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν ἢ τοῖς οἴκοι 6
πείθεσθαι ποιεῖν τε, ἐφ᾽ ἃ ἥκοι, ἐλθὼν παρὰ Κῦρον ᾔτει μισθὸν τοῖς ναύταις· ὁ δὲ αὐτῷ εἶπε δύο ἡμέρας ἐπισχεῖν.
Καλλικρατίδας δὲ ἀχθεσθεὶς τῇ ἀναβολῇ καὶ ταῖς ἐπὶ τὰς 7
θύρας φοιτήσεσιν ὀργισθεὶς καὶ εἰπὼν ἀθλιωτάτους εἶναι τοὺς Ἕλληνας, ὅτι βαρβάρους κολακεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἂν σωθῇ οἴκαδε, κατά γε τὸ αὑτοῦ δυνατὸν διαλλάξειν Ἀθηναίους καὶ Λακεδαιμονίους, ἀπέπλευσεν εἰς Μίλητον· κἀκεῖθεν πέμψας τριήρεις εἰς Λα- 8
κεδαίμονα ἐπὶ χρήματα ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων τάδε εἶπεν.

---

εἰς ἐμέ, ὅσον ἐξαρτᾶται ἀπὸ ἐμέ.—*τί ἄλλο ποιῶ*] πλαγία ἐρώτησις ἐκ τοῦ οὐκ ἔχω καθ᾽ ὑποτακτ. σημαίνουσα ἀπορίαν περὶ τοῦ πρακτέου· συντ. § 58, 5.—*ὡς ἂν δύνωμαι*] ἐπιτείνει τὴν σημασίαν τοῦ ὑπερθ. κράτιστα. —*πρὸς ἃ*] ὡς πρὸς ἐκεῖνα, τὰ ὁποῖα.—*αἰτιάζεται*]=αἰτίαν ἔχει. κατηγορεῖται.—*ἐροῦντα*] ἵνα εἴπω.

§ 6. *τοῖς οἴκοι*] ἄρχουσιν· ἰδὲ § 8.—*ᾔτει μισθόν*] ἐνν. αὐτόν.—*τοῖς ναύταις*] διὰ τοὺς ναύτας.

§ 7· *ἐπισχεῖν*] νὰ περιμείνῃ.—*ἀχθεσθείς*] ἀγανακτήσας.—*τῇ ἀναβολῇ*] ἰδὲ κατωτέρω § 10 «Κῦρος δὲ ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι».—*ἐπὶ τὰς θύρας*] εἰς τὴν αὐλὴν τοῦ Κύρου. εἰς τὰ ἀνάκτορα.—*ὅτι*] διότι.—*ἢν σωθῇ οἴκαδε*] ἐὰν σωθῇ καὶ ἐπιστρέψῃ εἰς τὴν πατρίδα· ἡ ἀπόδοσις εἶναι *διαλλάξειν* κατ᾽ ἀπαρεμφ. διότι ἐξαρτᾶται ἐκ τοῦ φάσκων —*κατά γε τὸ αὑτοῦ δυνατόν*] κατὰ τὴν δύναμίν του· πρβλ. τὸ ἐν § 5 τὸ κατ᾽ ἐμέ.

§ 8. *ἐπὶ χρήματα*] διὰ χρήματα· ἰδὲ κατωτέρω § 9 χρήματα ἄξοντας· —*ἐν βαρβάροις*] μεταξὺ βαρβάρων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐμοὶ μέν, ὦ Μιλήσιοι, ἀνάγκη τοῖς οἴκοι ἄρχουσι πείθεσθαι· ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι εἰς τὸν πόλεμον διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις πλεῖστα κακὰ ἤδη ὑπ' αὐτῶν πεπονθέναι. Δεῖ δ' ὑμᾶς ἐξηγεῖσθαι τοῖς ἄλλοις συμμάχοις, ὅπως ἂν τάχιστά τε καὶ μάλιστα βλάπτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λακεδαίμονος ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας, ἐπεὶ τὰ ἐνθάδε ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς ὡς περιττὰ ὄντα οἴχεται· Κῦρος δὲ ἐλθόντος ἐμοῦ ἐπ' αὐτὸν ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι, ἐγὼ δ' ἐπὶ τὰς ἐκείνου θύρας φοιτᾶν οὐκ ἐδυνάμην ἐμαυτὸν πεῖσαι. Ὑπισχνοῦμαι δ' ὑμῖν ἀντὶ τῶν συμβάντων ἡμῖν ἀγαθῶν ἐν τῷ χρόνῳ, ᾧ ἂν ἐκεῖνα προσδεχώμεθα, χάριν ἀξίαν ἀποδώσειν. Ἀλλὰ σὺν τοῖς θεοῖς δείξομεν τοῖς βαρβάροις, ὅτι καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν δυνάμεθα τοὺς ἐχθροὺς τιμωρεῖσθαι.

12 Ἐπεὶ δὲ ταῦτ' εἶπεν, ἀνιστάμενοι πολλοὶ καὶ μάλιστα οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι δεδιότες εἰσηγοῦντο πόρον χρημάτων καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ. Λαβὼν δὲ ταῦτα ἐκεῖνος καὶ ἐκ Χίου πενταδραχμίαν ἑκάστῳ τῶν

---

§ 9. *ἐξηγεῖσθαι*] νὰ προηγηθῆτε, νὰ δώσητε τὸ καλὸν παράδειγμα.—*ἕως ἂν . . ἥκωσιν*] συντ. § 53, 1, 6'.—*οἱ ἐκ Λακεδαίμονος*] κατὰ βραχυλογίαν ἀντὶ οἱ εἰς Λακεδαίμονα πεμφθέντες ἥκωσιν ἐκ Λακεδαίμονος.

§ 10. *ὡς περιττὰ ὄντα*] διότι δῆθεν ἐπερίσσευον.—*οἴχεται*]=ἀπελήλυθεν· συντ. § 29 σημ. 1.—*ἐπὶ τὰς ἐκείνου θύρας φοιτᾶν*] νὰ πηγαίνω συχνὰ στὴν πόρτα του. *ἐμαυτὸν πεῖσαι*] περίφρασις τοῦ μέσου.

§ 11. *τῶν συμβάντων*]=ἃ ἂν συμβῇ.—*ἡμῖν*]=ἐμοί.—*ᾧ*]=ἐν ᾧ.—*ἐκεῖνα*] τὰ ἐκ Σπάρτης περιμενόμενα χρήματα.—*προσδεχώμεθα*] περιμένωμεν.—*σὺν τοῖς θεοῖς*] μὲ τὴν βοήθειαν τῶν θεῶν —*θαυμάζειν*]=θεραπεύειν, περὶ πολλοῦ ποιεῖσθαι.—*τιμωρεῖσθαι*]=κολάζειν, νὰ τιμωρῶμεν.

§ 12. *οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι*] οἱ κατηγορούμενοι ὅτι ἦσαν ἐναντίοι αὐτοῦ, δηλ. οἱ φίλοι τοῦ Λυσάνδρου. —*εἰσηγοῦντο*] προέτεινον.—*ἐπαγγελλόμενοι*] ἐνν. δώσειν χρήματα ἐκ τοῦ ἀνωτέρω πόρον χρημάτων. Διαφέρει δὲ τὸ *ἐπαγγέλλεσθαι* τοῦ *ὑπισχνεῖσθαι*· ὑπισχνεῖται μὲν ὁ τῷ αἰτήσαντι δώσειν ὁμολογήσας, ἐπαγγέλλεται δὲ ὁ ἀφ' ἑαυτοῦ δώσειν ὁμολογή-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ναυτῶν ἐφοδιασάμενος ἔπλευσε τῆς Λέσβου ἐπὶ Μήθυμναν πολεμίαν οὖσαν. Οὐ βουλομένων δὲ τῶν Μηθυμναίων 13 προσχωρεῖν ἅτ' ἐμφρούρων ὄντων Ἀθηναίων καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττικιζόντων προσβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος. Τὰ μὲν οὖν χρήματα πάντα διήρπα- 14 σαν οἱ στρατιῶται, τὰ δὲ ἀνδράποδα πάντα συνήθροισεν ὁ Καλλικρατίδας εἰς τὴν ἀγορὰν καὶ κελευόντων τῶν συμμάχων ἀποδόσθαι καὶ τοὺς Μηθυμναίους οὐκ ἔφη ἑαυτοῦ γε ἄρχοντος οὐδέν' ἂν Ἑλλήνων [εἰς τὸ κείνου δυνατὸν] ἀνδραποδισθῆναι. Τῇ δ' ὑστεραίᾳ τοὺς μὲν ἐλευ- 15 θέρους ἀφῆκε, τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα τὰ δοῦλα πάντα ἀπέδοτο· Κόνωνι δὲ εἶπεν, ὅτι παύσει αὐτὸν μοιχῶντα τὴν θάλατταν. Κατιδὼν δὲ αὐτὸν ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ ἐδίωκεν ὑποτεμνόμενος τὸν εἰς Σάμον πλοῦν, [ὅπως μὴ ἐκεῖσε φύγοι]. Κόνων δ' ἔφευγε 16

---

σας.—*ἰδίᾳ*] ἀπὸ τὰ ἰδικά των.—*τῆς Λέσβου*] γεν. διαιρετικὴ ἐκ τοῦ Μήθυμναν.

§ 13. *ἅτ' ἐμφρούρων ὄντων Ἀθ.*] ἐπειδὴ ἦσαν ἐν τῇ πόλει των φρουροὶ Ἀθ.—*τῶν τὰ πράγματα ἐχόντων*) τῶν ἐν τοῖς πράγμασιν, τῶν διοικούντων τὰ τῆς πόλεως.—*κατὰ κράτος*]=βίᾳ.

§ 14. *τὰ χρήματα*] τὰ πράγματα.—*τὰ ἀνδράποδα*] τοὺς δούλους τῶν Μηθυμναίων.—*ἀποδόσθαι*] νὰ πωλήσῃ.—*καὶ τοὺς Μηθ.*] οὐ μόνον τοὺς τῶν Ἀθ. φρουροὺς καὶ τὰ ἀνδράποδα, ἀλλὰ καὶ τοὺς Μηθ. ὁ καὶ ἐπιδοτικός.—*οὐκ ἔφη . . . ἀνδραποδισθῆναι*]=ἔφη οὐκ ἀνδραπ.—*ἑαυτοῦ γε ἄρχοντος*] ἐν ὅσῳ αὐτὸς τοὐλάχιστον εἶναι ἄρχων.—*οὐδένα Ἑλλήνων*) ἐννοεῖ τοὺς κατοίκους ἅπαντας οὐδεμιᾶς πόλεως ἑλληνικῆς.—*εἰς τὸ κείνου δυνατὸν*] ὅσον εἶναι εἰς τὴν δύναμίν του, ὅσον δύναται.—*κείνου*]=ἑαυτοῦ.

§ 15. *τοὺς μὲν*]=τούτους μέν. δηλ. τοὺς Μηθυμναίους.—*ἐλευθέρους*] κατηγορούμενον εἰς τὸ τοὺς μέν.—*τὰ ἀνδράποδα τὰ δοῦλα*] τοὺς αἰχμαλώτους, οἵτινες ἦσαν δοῦλοι πρὶν κυριεύσῃ τὴν πόλιν.—*εἶπε*] διέταξε νὰ εἴπωσι. παρήγγειλεν· ἐνεργητικὸν διάμεσον. συντ. § 35, σημ. 1.—*μοιχῶντα*] νὰ ἀτιμάζῃ, μεταφορικῶς· συντ. § 45, 6', 3 —*ὑποτεμνόμενος*] προσπαθῶν, θέλων νὰ κόψῃ· ἐνεστ. τῆς προσπαθείας· συντ. § 37, 1, 4.

16. *διὰ τὸ ἐκλελέχθαι*] διότι εἶχον ἐκλεχθῇ.—*τῶν δέκα στρατ.*] γεν. διαιρετικὴ ἐκ τοῦ Λέων καὶ Ἐρασινίδης.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταῖς ναυσὶν εὖ πλεούσαις διὰ τὸ ἐκ πολλῶν πληρωμάτων
εἰς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέτας, καὶ καταφεύ-
γει εἰς Μυτιλήνην τῆς Λέσβου καὶ σὺν αὐτῷ τῶν δέκα
στρατηγῶν Λέων καὶ Ἐρασινίδης. Καλλικρατίδας δὲ
συνεισέπλευσεν εἰς τὸν λιμένα διώκων ναυσὶν ἑκατὸν καὶ
17 ἑβδομήκοντα. Κόνων δὲ ὡς ἔφθη ὑπὸ τῶν πολεμίων κα-
τακωλυθείς, ἠναγκάσθη ναυμαχῆσαι πρὸς τῷ λιμένι καὶ
ἀπώλεσε ναῦς τριάκοντα· οἱ δὲ ἄνδρες εἰς τὴν γῆν ἀπέφυ-
γον· τὰς δὲ λοιπὰς τῶν νεῶν τετταράκοντα οὔσας ὑπὸ τῷ
18 τείχει ἀνείλκυσε. Καλλικρατίδας δὲ ἐν τῷ λιμένι ὁρμισά-
μενος ἐπολιόρκει ἐνταῦθα τὸν ἔκπλουν ἔχων. Καὶ κατὰ
γῆν μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδημεὶ καὶ ἐκ
τῆς Χίου τὸ στάτευμα διεβίβασε, χρήματά τε παρὰ Κύ-
19 ρου αὐτῷ ἦλθεν. Ὁ δὲ Κόνων ἐπεὶ ἐπολιορκεῖτο καὶ
κατὰ θάλατταν καὶ σίτων οὐδαμόθεν ἦν εὐπορῆσαι, οἱ δὲ
ἄνθρωποι πολλοὶ ἐν τῇ πόλει ἦσαν καὶ οἱ Ἀθηναῖοι οὐκ
ἐβοήθουν διὰ τὸ μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν
νεῶν τὰς ἄριστα πλεούσας δύο ἐπλήρωσε πρὸ ἡμέρας ἐξ
ἁπασῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας καὶ τοὺς
ἐπιβάτας εἰς κοίλην ναῦν μεταβιβάσας καὶ τὰ παραῤῥύ-
20 ματα παραβαλών. Τὴν μὲν οὖν ἡμέραν οὕτως ἀνεῖχον, εἰς

---

§ 17. *ἔφθη , . . κατακωλυθείς*] οἱ πολέμιοι προέλαβον καὶ τὸν ἐμπόδισαν. Τό ἔφθη ἀόρ. β′ τοῦ φθάνω, προφθάνω, πρότερος ποιῶ τι· συντ. § 45, β′. 2.—*πρὸς τῷ λιμένι*] ἐντὸς τοῦ λιμένος πλησίον τῆς εἰσόδου.—*ἀπέφυγον*] φυγόντες ἐσώθησαν.

§ 18. *ὁρμισάμενος*] ἀράξας.—*τὸν ἔκπλουν ἔχων*] κατέχων τὴν ἔξοδον, δηλ. τὸ στόμα τοῦ λιμένος, ἐξ οὗ ἠδύναντο νὰ ἐκπλεύσωσι τὰ πλοῖα.—*μεταπεμψάμενος*] προσκαλέσας.

§ 19. *ἦν*]=ἐνῆν, ἦτο δυνατόν.=*τοὺς ἐπιβάτας*] τοὺς ναυτικοὺς στρατιώτας.—*εἰς κοίλην ναῦν*] εἰς τὸ κοῖλον (τὸ ἀμπάρι) τοῦ πλοίου, ἵνα μὴ φαίνωνται.—*τὰ παραῤῥύματα*]=παραβλήματα, δηλ. παραπετάσματα δερμάτινα ἢ τρίχινα εἰς τὰς πρῴρας τῶν πλοίων.

§ 20. *ἀνεῖχον*] ἔμενον ἥσυχοι.—*ἐπεὶ σκότος εἴη*] ἑκάστην ἑσπέραν ὅταν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν ὡς μὴ κα-
ταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦντας. Πέμπτῃ
δὲ ἡμέρᾳ εἰσθέμενοι σῖτα μέτρια, ἐπειδὴ ἤδη μέσον ἡμέ-
ρας ἦν καὶ οἱ ἐφορμοῦντες ὀλιγώρως εἶχον καὶ ἔνιοι ἀνε-
παύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμένος καὶ ἡ μὲν ἐπὶ Ἑλ-
λησπόντου ὥρμησεν, ἡ δὲ εἰς τὸ πέλαγος. Τῶν δ' ἐφορ- 21
μούντων ὡς ἕκαστοι ἤνυτον, τάς τε ἀγκύρας ἀποκόπτον-
τες καὶ ἐπειγόμενοι ἐβοήθουν τεταραγμένοι τυχόντες ἐν
τῇ γῇ ἀριστοποιούμενοι· εἰσβάντες δὲ ἐδίωκον τὴν εἰς τὸ
πέλαγος ἀφορμήσασαν καὶ ἅμα τῷ ἡλίῳ δύνοτι κατέλαβον
καὶ κρατήσαντες μάχῃ ἀναδησάμενοι ἀπῆγον εἰς τὸ στρα-
τόπεδον αὐτοῖς ἀνδράσιν. Ἡ δ' ἐπὶ τοῦ Ἑλλησπόντου 22
φυγοῦσα ναῦς διέφυγε καὶ ἀφικομένη εἰς τὰς Ἀθήνας
ἐξαγγέλλει τὴν πολιορκίαν. Διομέδων δὲ βοηθῶν Κόνωνι
πολιορκουμένῳ δώδεκα ναυσὶν ὡρμίσατο εἰς τὸν εὔριπον
τὸν τῶν Μυτιληναίων. Ὁ δὲ Καλλικρατίδας ἐπιπλεύσας 23
αὐτῷ ἐξαίφνης δέκα μὲν τῶν νεῶν ἔλαβε, Διομέδων δ'
ἔφυγε τῇ τε αὑτοῦ καὶ ἄλλῃ. Οἱ δὲ Ἀθηναῖοι τὰ γεγενη- 24

---

ἐσκοτείνιαζε· συντ. § 53, 5.—*ὡς μὴ . . . εἶναι*] τὸ ὡς μετ' ἀπαρεμφ. σημ. τὸ σκοπούμενον ἀποτέλεσμα· συντ. § 56, β΄.—*ταῦτα*] τὸ εἰσέρχεσθαι καὶ ἐξέρχεσθαι τῶν πλοίων.—*σῖτα*] τροφάς· ἑνικ. ὁ σῖτος·—*οἱ ἐφορμοῦντες*] οἱ φυλάσσοντες τὴν εἴσοδον τοῦ λιμένος· ἰδὲ § 18. *ἐφορμέω*=ἐφεδρεύω, ἐνεδρεύω, παραμονεύω.—*ὀλιγώρως εἶχον*]=ὠλιγώρουν. δὲν προσεῖχον.

§ 21. *ὡς ἕκαστοι ἤνυτον*] ἰδὲ 1, 1, 2.—*ἀριστοποιούμενοι*] ἐκ τοῦ ἄριστον ποιοῦμαι. Ἰδὲ 1, 1, 13.—*ἅμα τῷ ἡλίῳ δύνοντι*] κατὰ τὴν δύσιν τοῦ ἡλίου.—*ἀναδησάμενοι*] ἀναδέομαι—οῦμαι, δένω ὀπίσω.—*αὐτοῖς ἀνδράσιν*] 1, 2, 12.

§ 22. *εἰς τὸν εὔριπον*] εἰς τὸ στενόν, τὸν πορθμόν. Ἡ ἀρχαία πόλις τῆς Μυτιλήνης ἔκειτο ἐπὶ μικρᾶς νήσου πλησίον τῆς Λέσβου. Μεταξὺ λοιπὸν τῆς μικρᾶς νήσου καὶ τῆς Λέσβου ἦν ὁ εὔριπος οὗτος, ὅστις ἥνωνε τοὺς δύο λιμένας τῆς Μυτιλήνης.

§ 23. *τῇ τε αὑτοῦ καὶ ἄλλῃ*] νηΐ· μὲ τὸ ἰδικόν του πλοῖον καὶ ἄλλο ἕν.

§ 24. *τοὺς ἐν τῇ ἡλικίᾳ ὄντας*] τοὺς ἔχοντας τὴν ὑπὸ τοῦ νόμου ὁρι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7 μένα καὶ τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν, ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα εἰσβιβάζοντες τοὺς ἐν τῇ ἡλικίᾳ ὄντας ἅπαντας καὶ δούλους καὶ ἐλευθέρους· καὶ πληρώσαντες τὰς δέκα καὶ ἑκατὸν ἐν τριάκοντα ἡμέραις ἀπῆραν. Εἰσέβησαν δὲ καὶ τῶν ἱππέων πολλοί. Μετὰ ταῦτα ἀνή-
25 χθησαν εἰς Σάμον κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα. ἤθροισαν δὲ καὶ ἄλλας πλείους ἢ τριάκοννα παρὰ τῶν ἄλλων συμμάχων εἰσβαίνειν ἀναγκάσαντες ἅπαντας, ὁμοίως δὲ καὶ εἴ τινες αὐτοῖς ἔτυχον ἔξω οὖσαι. Ἐγένοντο δὲ
26 αἱ πᾶσαι πλείους ἢ πεντήκοντα καὶ ἑκατόν. Ὁ δὲ Καλλικρατίδας ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ οὖσαν αὐτοῦ μὲν κατέλιπε πεντήκοντα ναῦς καὶ ἄρχοντα Ἐτεόνικον, ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς ἐδειπνοποιεῖτο τῆς Λέ-
27 σβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ [ἀντίον τῆς Μυτιλήνης]· Τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ Ἀθηναῖοι δειπνοποιούμενοι ἐν Ἀργινούσαις· αὗται δ' εἰσὶν [ἀντίον τῆς Λέσβου ἐπὶ τῇ
28 Μαλέᾳ ἄκρᾳ] ἀντίον τῆς Μυτιλήνης. Τῆς δὲ νυκτὸς ἰδὼν τὰ πυρὰ καί τινων αὐτῷ ἐξαγγειλάντων ὅτι οἱ Ἀθηναῖοι

---

ζομένην ἡλικίαν. ἤτοι 18 - 60] ἐτῶν, οἵτινες ἦσαν ὑποχρεωμένοι νὰ ἐκστρατεύωσιν. Οἱ δὲ πέραν τῶν 60 ἐτῶν ἐλέγοντο *οἱ* [*ἔξω τῆς ἡλικίας*.—*καὶ δούλους*] οἱ δοῦλοι μόνον ἐν μεγίστῃ ἀνάγκῃ ὑπηρέτουν ὡς στρατιῶται.—*πληρώσαντες*) ἐνν. ἀνδρῶν· ὅθεν πλήρωμα λέγονται οἱ ἄνδρες οἱ ἀποτελοῦντες τὴν δύναμιν τοῦ πλοίου.—*ἀπῆραν*] ἀόρ. τοῦ ἀπαίρω· ἐσήκωσαν τὴν ἄγκυραν καὶ ἀνεχώρησαν.—*τῶν ἱππέων*] ἐκ τῆς τάξεως τῶν ἱππέων, οἵτινες ὑπηρέτουν μόνον εἰς τὸ ἱππικόν, ἐν ἀνάγκῃ δὲ καὶ ὡς πεζοί, ὡς καὶ ἐνταῦθα.

§ 25. *καὶ εἴ τινες*] ἐνν. νῆες· ἡ ἀπόδοσις εἶναι, καὶ ταύτας ἤθροισαν.—*αἱ πᾶσαι*] τὸ ὅλον.

§ 26. *αὐτοῦ*] ἐν Μυτιλήνῃ.—*ἐδειπνοποιεῖτο*]=δεῖπνον ἐποιεῖτο· ἴδε 1. 1, 13 καὶ 6, 21.—*Μαλέᾳ*] ἀκρωτήριον εἰς τὸ νότιον τῆς Λέσβου.—*ἀντίον*] ἀντικρύ.

§ 27. *Ἀργινοῦσαι*] τρεῖς μικραὶ νῆσοι μεταξὺ Λέσβου καὶ Μ. Ἀσίας.

§ 28. *περὶ μέσας νύκτας*] τὸ μέσον τῆς νυκτός, τὸ μεσονύκτιον.=ὡς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶεν, ἀνήγετο περὶ μέσας νύκτας, ὡς ἐξαπιναίως προσπέσοι· ὕδωρ δ' ἐπιγενόμενον πολὺ καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. Ἐπεὶ δὲ ἀνέσχεν, ἅμα τῇ ἡμέρᾳ ἔπλει ἐπὶ τὰς Ἀργινούσας. Οἱ δ' Ἀθηναῖοι ἀντανήγοντο εἰς τὸ πέλαγος τῷ εὐωνύμῳ παρατεταγμένοι ὧδε. Ἀριστοκράτης 29
μὲν τὸ εὐώνυμον ἔχων ἡγεῖτο πεντεκαίδεκα ναυσί, μετὰ δὲ ταῦτα Διομέδων ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Ἀριστοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ Ἐρασινίδης· παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι δέκα ναυσὶν ἐπὶ μιᾶς τεταγμένοι· ἐστρατήγει δὲ αὐτῶν Σάμιος ὀνόματι Ἱππεύς· ἐχόμεναι δὲ αἱ τῶν ταξιάρχων δέκα καὶ αὗται ἐπὶ μιᾶς· ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς καὶ εἴ τινες ἄλλαι ἦσαν συμμαχίδες. Τὸ δὲ δεξιὸν κέρας Πρωτόμαχος εἶχε πεντεκαί- 30
δεκα ναυσί· παρὰ δ' αὐτὸν Θράσυλλος ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Πρωτομάχῳ μὲν Λυσίας ἔχων τὰς ἴσας ναῦς, Θρασύλλῳ δ' Ἀριστογένης. Οὕτω δ' ἐτάχθησαν, ἵνα μὴ 31
διέκπλουν διδοῖεν· χεῖρον γὰρ ἔπλεον. Αἱ δὲ τῶν Λακεδαιμονίων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς ὡς πρὸς διέκπλουν καὶ περίπλουν παρεσκευασμέναι διὰ τὸ βέλτιον

---

*ἐξαπιναίως προσπέσοι*] ἵνα ἐξαίφνης ἐπιπέσῃ.— *τὴν ἀναγωγήν*] τὸν ἔκπλουν. —*ἐπεὶ δ' ἀνέσχεν*] ἀφοῦ δ' ἐστάθη ἡ βροχή.

§ 29. *τῷ εὐωνύμῳ*] ἐνν. κέρᾳ· εὐώνυμος (εὖ-ὄνομα)=ἀριστερὸς κατ' εὐφημισμόν.= *παρατεταγμένοι ὧδε*] οἱ Ἀθ. ἦσαν παρατεταγμένοι οὕτω, ὥστε τὸ μὲν ἀριστερὸν κέρας (πτέρυξ) ἦν πρὸς τὸ πέλαγος, τὸ δὲ δεξιὸν πρὸς τὴν ξηράν.—*μετὰ δὲ ταῦτα*] ἔπειτα δέ, ἤτοι πρὸς τὰ δεξιὰ τούτου.—*ἐπετέτακτο*] ὄπισθεν ἦτο τεταγμένος.— *ἐπὶ μιᾶς*] εἰς μίαν σειράν.—*ὀνόματι*] συνηθέστερον λέγεται ὄνομα ἢ τοὔνομα.—*ἐχόμεναι*] συνεχόμεναι τούτων τεταγμέναι ἦσαν. – *ταξίαρχοι*] ἦσαν δέκα, εἷς ἐξ ἑκάστης φυλῆς, ἄρχοντες τῶν πεζῶν τῆς οἰκείας φυλῆς, ὑπακούοντες τοῖς στρατηγοῖς.—*ἐπὶ δὲ ταύταις*] ὄπισθεν δὲ τούτων.

§ 31. *οὕτω δ' ἐτάχθησαν*] δηλ. εἰς δύο σειράς, ἐπὶ φάλαγγος.--*ἵνα μὴ διέκπλουν διδοῖεν*] ἵνα μὴ δίδωσιν εὐκολίαν εἰς τοὺς ἐχθροὺς νὰ διέρχωνται διὰ μέσου αὐτῶν καὶ διασπῶσι τὴν τάξιν τῶν πλοίων.—*ὡς πρὸς διέκ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

32 πλεῖν. Εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας. Ἕρμων δὲ Μεγαρεὺς ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν εἶπε πρὸς αὐτόν, ὅτι εἴη καλῶς ἔχον ἀποπλεῦσαι· αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλείους ἦσαν. Καλλικρατίδας δὲ εἶπεν, ὅτι ἡ Σπάρτη οὐ δέος, μὴ κάκιον οἰκῆται αὐτοῦ ἀποθανόν-
33 τος, φεύγειν δὲ αἰσχρὸν ἔφη εἶναι. Μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολύν, πρῶτον μὲν ἁθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι· ἐπεὶ δὲ Καλλικρατίδας τε ἐμβαλούσης τῆς νεὼς ἀποπεσὼν εἰς τὴν θάλατταν ἠφανίσθη, Πρωτόμαχός τε καὶ οἱ μετ᾽ αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν, ἐντεῦθεν φυγὴ τῶν Πελοποννησίων ἐγένετο εἰς Χίον, πλείστων τινῶν δὲ καὶ εἰς Φώκαιαν· οἱ δὲ Ἀθηναῖοι πάλιν εἰς
34 τὰς Ἀργινούσας κατέπλευσαν. Ἀπώλοντο δὲ τῶν μὲν Ἀθηναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν ἐκτὸς ὀλίγων τῶν πρὸς τὴν γῆν προσενεχθέντων, τῶν δὲ Πελοποννησίων Λακωνικαὶ μὲν ἐννέα πασῶν οὐσῶν δέκα, τῶν δ᾽
35 ἄλλων συμμάχων πλείους ἢ ἑξήκοντα. Ἔδοξε δὲ καὶ τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἑπτὰ μὲν καὶ τετταράκοντα ναυσὶ Θηραμένην τε καὶ Θρασύβουλον τριηράρχους ὄντας

---

*πλουν καὶ περίπλουν*] ἡτοιμασμέναι, ἵνα διέρχωνται καὶ διασπῶσι τὴν τάξιν τῶν Ἀθ. καὶ περικυκλώσωσιν αὐτούς.

§ 32. *ὁ τῷ Καλλ. κυβερνῶν*] ὁ κυβερνήτης (πλοίαρχος τοῦ πλοίου τοῦ Καλλ.—*ὅτι εἴη καλῶς ἔχον*]=καλῶς ἔχοι, καλὸν ἤθελεν εἶναι.—*πολλῷ πλείονες ἦσαν*] οἱ μὲν Ἀθηναῖοι εἶχον πλέον τῶν 150 πλοίων (§ 25), οἱ δὲ Λακεδαιμόνιοι 120 (§ 26). - *οὐ δέος μὴ—οἰκῆται*] δὲν εἶναι φόβος, μήπως διοικῆται χειρότερον, ἂν αὐτὸς ἀποθάνῃ. Ὅμοιον εἶναι καὶ τὸ λαμπρὸν αὐτοῦ λόγιον (Πλουτρχ. ἀποφθ. Λακ. 6) *οὐ παρ᾽ ἕνα τὰ Σπάρτας*.

§ 33. *τῷ δεξιῷ* (κέρᾳ) τῶν Ἀθηναίων *τὸ εὐώνυμον* (κέρας) τῶν Λακεδαιμονίων.—*ἐντεῦθεν*] χρονικὸν ἀπὸ τότε.—*φυγὴ ἐγένετο*]=ἔφυγον· ἰδὲ 1. 1, 6.

§ 34. *προσενεχθέντων*] τὸ ῥ. προσφέρομαι· οἵτινες ἐφέρθησαν πρὸς τὴν ξηράν.—*τῶν πασῶν*] τὸ ὅλον.

§ 35 *τριηράρχους . . . ταξιάρχων*] ἰδὲ 1, 1, 28 καὶ 1, 6, 29.=*κατα-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*καὶ τῶν ταξιάρχων τινὰς πλεῖν ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀνθρώπους, ταῖς δὲ ἄλλαις ἐπὶ τὰς μετ' Ἐτεονίκου τῇ Μυτιλήνῃ ἐφορμούσας. Ταῦτα δὲ βουλομένους ποιεῖν ἄνεμος καὶ χειμὼν διεκώλυσεν αὐτοὺς μέγας γενόμενος· τροπαῖον δὲ στήσαντες αὐτοῦ ηὐλίζοντο. Τῷ* 36
*δ' Ἐτεονίκῳ ὁ ὑπηρετικὸς κέλης πάντα ἐξήγγειλε τὰ περὶ τὴν ναυμαχίαν. Ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν εἰπὼν τοῖς ἐνοῦσι σιωπῇ ἐκπλεῖν καὶ μηδενὶ διαλέγεσθαι, παραχρῆμα δὲ αὖθις πλεῖν εἰς τὸ ἑαυτῶν στρατόπεδον ἐστεφανωμένους καὶ βοῶντας, ὅτι Καλλικρατίδας νενίκηκε ναυμαχῶν καὶ ὅτι αἱ τῶν Ἀθηναίων νῆες ἀπολώλασιν ἅπασαι. Καὶ οἱ* 37
*μὲν ταῦτ' ἐποίουν· αὐτὸς δ', ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια καὶ τοῖς στρατιώταις παρήγγειλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμπόροις τὰ χρήματα σιωπῇ ἐνθεμένους εἰς τὰ πλοῖα ἀποπλεῖν εἰς Χίον (ἦν δὲ τὸ πνεῦμα οὔριον) καὶ τὰς τριήρεις τὴν ταχίστην. Αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν* 38
*εἰς τὴν Μήθυμναν τὸ στρατόπεδον ἐμπρήσας. Κόνων δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀπεδεδράκεσαν*

---

*δεδυκυίας*] τὰς τετραυματισμένας καὶ μελλούσας καταδῦναι.—*ἐφορμούσας*] ἰδὲ 1, 6, 20.—*χειμών*] τρικυμία.—*αὐτοῦ*] ἐν Ἀργινούσαις.—*ηὐλίζοντο*] ἐστρατοπέδευον.

§ 36. *κέλης*] μικρὸν πλοῖον ταχύ, τροχαντήρ (τρεχαντῆρι).—*τοῖς ἐνοῦσι*] τοῖς οὖσιν ἐν τῷ κέλητι.—*ἑαυτῶν*] τοῦ Ἐτεονίκου καὶ τῶν ἑαυτοῦ, σχῆμα κατὰ σύνεσιν.—*ἐστεφανωμένους*] φοροῦντας στέφανον ὡς σημεῖον χαρᾶς ἐπὶ τῇ νίκῃ.

§ 37. *ἔθυε τὰ εὐαγγέλια*]=ἔθυε τὴν θυσίαν τῶν εὐαγγελίων, ἔκαμνε τὴν νενομισμένην θυσίαν διὰ τὴν καλὴν ἀγγελίαν τῆς νίκης· συντ. § 11, 6.—*τοῖς ἐμπόροις*] συνήθως ἠκολούθουν τὸν στρατὸν ἔμποροι, ἵνα προμηθεύωσιν εἰς αὐτὸν τὰ ἀναγκαῖα καὶ ἀγοράζωσι τὰ λάφυρα.—*τὰ χρήματα*] τὰ πράγματά των.—*ἐνθεμένους*]=παρήγγειλε τοῖς ἐμπόροις ἀποπλεῖν (αὐτοὺς) ἐνθεμένους.—*τὰ πλοῖα*] τὰ φορτηγά.—*πνεῦμα*] ἄνεμος.—*καὶ τὰς τριήρεις*] ὑποκ. τοῦ ἀποπλεῖν.—*τὴν ταχίστην*] ἐνν. ὁδόν· ἐπίρ.=τάχιστα.

§ 38. *ἐμπρήσας*] ἐμπίμπρημι.—*καθελκύσας*] ἰδὲ § 17.—*ἀπεδεδράσκεσαν*]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ὁ ἄνεμος εὐδιαίτερος ἦν, ἀπαντήσας τοῖς Ἀθηναίοις
ἤδη ἀνηγμένοις ἐκ τῶν Ἀργινουσῶν ἔφρασε τὰ περὶ τοῦ
Ἐτεονίκου. Οἱ δὲ Ἀθηναῖοι κατέπλευσαν εἰς τὴν Μυτι-
λήνην, ἐκεῖθεν δ' ἐπανήχθησαν εἰς τὴν Χίον καὶ οὐδὲν
διαπραξάμενοι ἀπέπλευσαν ἐπὶ Σάμου.
1 *Κεφ. Ζ΄.* Οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρτηγοὺς
ἔπαυσαν πλὴν Κόνωνος· πρὸς δὲ τούτῳ εἵλοντο Ἀδεί-
μαντον καὶ τρίτον Φιλοκλέα. Τῶν δὲ ναυμαχησάντων
στρατηγῶν Πρωτόμαχος μὲν καὶ Ἀριστογένης οὐκ ἀπῆλ-
2 θον εἰς Ἀθήνας, τῶν δὲ ἓξ καταπλευσάντων, Περικλέ-
ους καὶ Διομέδοντος καὶ Λυσίου καὶ Ἀριστοκράτους καὶ
Θρασύλλου καὶ Ἐρασινίδου, Ἀρχέδημος ὁ τοῦ δήμου
τότε προεστηκὼς ἐν Ἀθήναις καὶ τῆς διωβελίας ἐπιμελό-
μενος Ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼν κατηγόρει ἐν δικα-
στηρίῳ φάσκων ἐξ Ἑλλησπόντου αὐτὸν ἔχειν χρήματα
ὄντα τοῦ δήμου· κατηγόρει δὲ καὶ περὶ τῆς στρατηγίας.
3 Καὶ ἔδοξε τῷ δικαστηρίῳ δῆσαι τὸν Ἐρασινίδην. Μετὰ
δὲ ταῦτα ἐν τῇ βουλῇ διηγοῦντο οἱ στρατηγοὶ περί τε τῆς
ναυμαχίας καὶ τοῦ μεγέθους τοῦ χειμῶνος. Τιμοκράτους

---

ἀποδιδράσκω· ἰδὲ § 1, 1, 1ν.—*οὐδὲν διαπραξάμενοι*]=ἐπεὶ οὐδὲν διεπράξαντο, οὐδὲν κατώρθωσαν.

Κεφ. Ζ΄. § 1. *οἱ δ' ἐν οἴκῳ*] οἱ ἐν Ἀθήναις.

§ 2. *οὐκ ἀπῆλθον*] ἐνν. ἐκ Σάμου.—*τῶν δὲ ἓξ καταπλευσάντων*] εἰς Ἀθήνας· γεν. (διαιρετικὴ) τοῦ κατωτέρω Ἐρασινίδῃ.—*ὁ τοῦ δήμου τότε προεστηκὼς*] ὅστις τότε ὡδήγει τὸν δῆμον οὐχὶ ὡς ἄρχων, ἀλλ' ὡς ῥήτωρ. Οἱ τοιοῦτοι ἐλέγοντο *προεστηκότες* ἢ *προστάται τοῦ δήμου.*—*διωβελία*] εἶναι δύο ὀβολοί, οὓς ἐλάμβανεν ἕκαστος πολίτης παρὰ τοῦ δημοσίου, ἵνα πληρώσῃ τὴν εἴσοδον εἰς τὸ θέατρον· τὰ χρήματα ταῦτα ἐλέγοντο θεωρικά.=*ἐπιβολὴν*] εἶναι ζημία, ἣν ἠδύνατο νὰ ἐπιβάλῃ ἄρχων τις ἄνευ ἀποφάσεως τοῦ δικαστηρίου εἰς τὸν κακῶς διαχειρισάμενον δημοσίαν τινὰ ὑπηρεσίαν.—*ἔχειν*] ὅτι εἶχε κλέψῃ.—*δῆσαι*] νὰ βάλῃ εἰς τὸ δεσμωτήριον, νὰ φυλακίσῃ.

§ 3. *ἐν τῇ βουλῇ*] ἐνώπιον τῆς βουλῆς.—*δεθέντας*] φυλακισθέντας.—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ' εἰπόντος, ὅτι καὶ τοὺς ἄλλους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδοθῆναι, ἡ βουλὴ ἔδησε. Μετὰ δὲ ταῦτα ἐκκλησία 4
ἐγένετο, ἐν ᾗ τῶν στρατηγῶν κατηγόρουν ἄλλοι τε καὶ Θηραμένης μάλιστα δικαίους εἶναι λόγον ὑποσχεῖν, διότι οὐκ ἀνείλοντο τοὺς ναυαγούς. Ὅτι μὲν γὰρ οὐδενὸς ἄλλου καθήπτοντο, ἐπιστολὴν ἐπεδείκνυε μαρτύριον, ἣν ἔπεμψαν οἱ στρατηγοὶ εἰς τὴν βουλὴν καὶ εἰς τὸν δῆμον ἄλλο οὐδὲν αἰτιώμενοι ἢ τὸν χειμῶνα. Μετὰ ταῦτα δὲ οἱ 5
στρατηγοὶ βραχέως ἕκαστος ἀπελογήσατο, οὐ γὰρ προυτέθη σφίσι λόγος κατὰ τὸν νόμον, καὶ τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς πολεμίους πλέοιεν, τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν προστάξαιεν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ καὶ ἄλλοις τοιούτοις, καὶ εἴπερ γέ τινας δέοι, 6
περὶ τῆς ἀναιρέσεως οὐδένα ἄλλον ἔχειν αὐτοὺς αἰτιάσασθαι ἢ τούτους, οἷς προσετάχθη. Καὶ οὐχ ὅτι γε κατηγο-

---

*εἰς τὸν δῆμον παραδοθῆναι*] ἵνα ἀποφασίσῃ.—*ἡ βουλὴ ἔδησε*] διέταξε νὰ τοὺς βάλωσιν εἰς τὸ δεσμωτήριον.

§ 4. *δικαίους εἶναι*] τὸ ἀπαρέμφ. ἐξαρτᾶται ἐκ τοῦ λέγων ἐννοουμένου ἐκ τοῦ κατηγόρουν *Δικαίους εἶναι* προσωπικῶς ἀντὶ τοῦ *δίκαιον εἶναι αὐτούς*.—*λόγον ὑποσχεῖν*] νὰ δώσωσι λόγον.—*διότι οὐκ ἀνείλοντο*]=δι' ὅτι ἀντὶ διὰ τί, ἐπὶ πλαγίας ἐρωτήσεως.—*τοὺς ναυαγούς*] καὶ νεκροὺς καὶ ζῶντας.—*ὅτι . . . καθήπτοντο*] ἐξαρτᾶται ἐκ τοῦ ἑπομένου *μαρτύριον*· ὅτι οὐδένα ἄλλον κατηγόρουν.—*αἰτιώμενοι*] αἴτιον νομίζοντες, κατηγοροῦντες.

§ 5. *οἱ στρατηγοὶ . . . ἕκαστος ἀπελογήσατο*] τὸ ῥῆμα συμφωνεῖ πρὸς τὸ προσεχέστερον.—*προυτέθη λόγος*] ἐδόθη λόγος. ἐπετράπη νὰ ὁμιλήσωσιν.—*σφίσι*]=αὐτοῖς.—*κατὰ τὸν νόμον*] εἰς τὸν κατηγορούμενον ἐπέτρεπεν ὁ νόμος χρόνον ὡρισμένον ἵν' ἀπολογηθῇ.—*ὅτι πλέοιεν*] εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου.—*τῶν τριηράρχων*] γεν. διαιρ. ἐκ τοῦ ἀνδράσιν.—*ἐστρατηγηκόσιν ἤδη*] οἵτινες εἶχον ἤδη χρηματίσῃ στρατηγοὶ καὶ ἑπομένως ἦσαν ἔμπειροι εἰς τὰ τοιαῦτα.

§ 6. *καὶ εἴπερ γέ τινας δέοι*] ἐνν. αἰτιάσασθαι ἐκ τῶν ἑπομένων.—*ἔχειν . . . αἰτιάσασθαι*] ἐνν. ἔφασαν ἐκ τοῦ ἀνωτέρω διηγοῦντο.—*οἷς προσε-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ροῦσιν ἡμῶν, ἔφασαν, ψευσόμεθα φάσκοντες αὐτοὺς αἰτί-
ους εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦ-
7 σαν τὴν ἀναίρεσιν. Τούτων δὲ μάρτυρας παρείχοντο τοὺς
κυβερνήτας καὶ ἄλλους τῶν συμπλεόντων πολλούς. Τοι-
αῦτα λέγοντες ἔπειθον τὸν δῆμον· ἐβούλοντο δὲ πολλοὶ
τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι· ἔδοξε δὲ ἀναβαλέ-
σθαι εἰς ἑτέραν ἐκκλησίαν (τότε γὰρ ὀψὲ ἦν καὶ τὰς χεῖ-
ρας οὐκ ἂν καθεώρων)· τὴν δὲ βουλὴν προβουλεύουσαν
8 εἰσενεγκεῖν ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο. Μετὰ δὲ
ταῦτα ἐγίγνετο Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ
συγγενεῖς σύνεισι σφίσιν αὐτοῖς. Οἱ οὖν περὶ τὸν Θηραμένη
παρεσκεύασαν ἀνθρώπους μέλανα ἱμάτια ἔχοντας καὶ ἐν
χρῷ κεκαρμένους πολλοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς
τὴν ἐκκλησίαν ἥκοιεν ὡς δὴ συγγενεῖς ὄντες τῶν ἀπολω-
λότων καὶ Καλλίξεινον ἔπεισαν ἐν τῇ βουλῇ κατηγορεῖν
9 τῶν στρατηγῶν. Ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς ἣν ἡ

---

*τάχθη*] ἀπρόσωπον, ἐνν. ἀναιρεῖσθαι τοὺς ναυαγούς.—*καὶ οὐχ*] καὶ οὐ ψευσόμεθα φάσκοντες κτλ.—*ὅτι γε κατηγοροῦσιν ἡμῶν*] διότι μᾶς κατηγοροῦσιν ὁ Θηραμένης καὶ οἱ ὀπαδοί του.—*ἀλλὰ τὸ μέγεθος*] ἐνν. *φάσκομεν* ἐκ τοῦ ἀνωτέρω φάσκοντες.—*εἶναι τὸ κωλῦσαν*] κωλῦσαι.

§ 7. *ἔπειθον*] ἦσαν ἐν τῷ πείθειν, ἔμελλον νὰ πείσωσιν.—*τὰς χεῖρας*] ἃς ὕψωνον ἐν τῇ χειροτονίᾳ.—*οὐκ ἂν καθεώρων*] ἐνν. εἰ μὴ ἀνεβάλλοντο· συντ. § 57, 1, δ'.—*προβουλεύουσαν*] νὰ κάμῃ προβούλευμα, ἀπόφασιν, ἥτις πρὶν ἐπικυρωθῇ ὑπὸ τῆς ἐκκλησίας τοῦ δήμου οὐδεμίαν εἶχεν ἰσχύν.—*εἰσενεγκεῖν*] ἐκ τοῦ ἔδοξε· εἰσφέρω=προτείνω.—*ὅτῳ τρόπῳ οἱ ἄνδρες κρίνοιντο*] κατὰ ποῖον τρόπον ἔπρεπε νὰ κριθῶσιν· πλαγία ἐρώτησις κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου (ἰδὲ συντ. § 58, 5) ἀντὶ ὑποτακτ. διότι σημαίναι ἀπορίαν περὶ τοῦ πρακτέου· συντ. 58, 3, β'.

§ 8. *Ἀπατούρια*] (ἐκ τοῦ ἀθρ. α καὶ πάτωρ.=φράτωρ) ἑορτὴ τῶν Ἀθηναίων καὶ τῶν Ἰώνων ἀγομένη τὸν μῆνα Πυανεψιῶνα (Ὀκτώβριον) καὶ διαρκοῦσα τρεῖς ἡμέρας.—*σφίσιν αὐτοῖς*]=ἀλλήλοις —*ἐν χρῷ κεκαρμένους*] σύρριζα κουρευμένους, ὅπερ ἦν σημεῖον πένθους. Τὸ ῥ. *κείρομαι*.—*πολλούς*] κατηγορ. τοῦ ἀντικ. ἀνθρώπους· οἵτινες ἦσαν πολλοί.—*ὡς δὴ συγγενεῖς ὄντες*] διότι δῆθεν ἦσαν συγγενεῖς.

§ 9. *ἐντεῦθεν*] μετὰ τὰ Ἀπατούρια.—*Καλλιξείνου εἰπόντος*] κατὰ πρό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην Καλλιξείνου εἰπόντος τήν δε· Ἐπειδὴ τῶν τε κατηγορούντων κατὰ τῶν στρατηγῶν καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ προτέρᾳ ἐκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι Ἀθηναίους ἅπαντας κατὰ φυλάς· θεῖναι δὲ εἰς τὴν φυλὴν ἑκάστην δύο ὑδρίας· ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ οὐκ ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ, εἰς τὴν προτέραν ψηφίσασθαι, ὅτῳ δὲ μή, εἰς τὴν ὑστέραν· ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶ- 10
σαι καὶ τοῖς ἕνδεκα παραδοῦναι καὶ τὰ χρήματα δημεῦσαι, τὸ δ' ἐπιδέκατον τῆς θεοῦ εἶναι. Παρῆλθε δέ τις εἰς 11
τὴν ἐκκλησίαν φάσκων ἐπὶ τεύχους ἀλφίτων σωθῆναι· ἐπιστέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ, ἀπαγγεῖλαι τῷ δήμῳ, ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο τοὺς ἀρίστους ὑπὲρ τῆς πατρίδος γενομένους. Τὸν δὲ Καλλίξεινον 12
προσεκαλέσαντο παράνομα φάσκοντες γεγραφέναι Εὐρυπτόλεμός τε ὁ Πεισιάνακτος καὶ ἄλλοι τινές. Τοῦ δὲ δή-

---

τασιν τοῦ Καλλ. — *ἀκηκόασι*] Ἀθηναῖοι. — *διαψηφίσασθαι*] = διαψηφισάσθων· συντ. § 43, νὰ ἐκφράσωσι τὴν γνώμην των διὰ ψηφοφορίας. — *κατὰ φυλάς*] ἡ Ἀττικὴ διῃρεῖτο εἰς 10 φυλάς· ἡ κατὰ σημαίνει χωρισμόν. — *δύο ὑδρίας*] δύο κάλπας, ἐν αἷς ἔβαλλον τὰς ψήφους. — *ἀδικεῖν*] = ἄδικα πεποιηκέναι, ὅτι εἶναι ἔνοχοι· συντ. § 37. σημ. 1. — *οὐκ ἀνελόμενοι*] ἐπειδὴ οὐκ ἀνείλοντο· ἀναιροῦμαι. — *εἰς τὴν προτέραν . . . εἰς τὴν ὑστέραν*] ὑδρίαν. — *ὅτῳ δὲ μή*] ἐνν. δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοί.

§ 10. *θανάτῳ ζημιῶσαι*] νὰ τοὺς τιμωρήσωσι, καταδικάσωσινν εἰς θάνατον. — *οἱ ἕνδεκα*] ἦσαν ἄρχοντες ἐν Ἀθήναις, εἰς οὓς παρεδίδετο πᾶς εἰς θάνατον καταδικαζόμενος πρὸς ἐκτέλεσιν τῆς ποινῆς. — *δημεῦσαι*] = δημόσια ποιῆσαι. — *τῆς θεοῦ*] τῆς Ἀθηνᾶς.

§ 11. *παρῆλθε*] ἐνν. ἐπὶ το βῆμα. — *ἐπὶ τεύχους ἀλφίτων*] ἐπὶ ἀλφιτοθήκης· ἄλφιτα δὲ κρίθινα ἄλευρα. — *ἐπιστέλλειν*] ἐκ τοῦ φάσκων· ὅτι παρήγγελλον εἰς αὐτὸν οἱ ἀπολλύμενοι. — *τοὺς ἀρίστους γενομένους*] = τοὺς ἀριστεύσαντας, ἀνδραγαθήσαντας.

§ 12. *προσεκαλέσαντο*] εἰς τὸ δικαστήριον, ἤτοι ἔφερον γραφὴν παρανόμων κατὰ τοῦ Καλλ. ἥτις ἦτο καταγγελία κατὰ τῶν προτεινόντων νόμον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*μου ἔνιοι ταῦτα ἐπήνουν, τὸ δὲ πλῆθος ἐβόα δεινὸν εἶναι,*
13 *εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν, ὃ ἂν βούληται. Καὶ*
*ἐπὶ τούτοις εἰπόντος Λυκίσκου καὶ τούτους τῇ αὐτῇ ψήφῳ*
*κρίνεσθαι, ᾗπερ καὶ τοὺς στρατηγούς, ἐὰν μὴ ἀφῶσι τὴν*
*κλῆσιν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος καὶ ἠναγκάσθησαν*
14 *ἀφιέναι τὰς κλήσεις. Τῶν δὲ πρυτάνεών τινων οὐ φασκόν-*
*των προθήσειν τὴν διαψήφισιν παρὰ τὸν νόμον αὖθις*
15 *Καλλίξεινος ἀναβὰς κατηγόρει αὐτῶν τὰ αὐτά. Οἱ δὲ*
*ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. Οἱ δὲ πρυτάνεις φοβη-*
*θέντες ὡμολόγουν πάντες προθήσειν πλὴν Σωκράτους*
*τοῦ Σωφρονίσκου· οὗτος δ' οὐκ ἔφη ἀλλ' ἢ κατὰ νόμον*
*πάντα ποιήσειν. Μετὰ δὲ ταῦτα ἀναβὰς Εὐρυπτόλεμος*
*ἔλεξεν ὑπὲρ τῶν στρατηγῶν τάδε.*

---

ἢ ψήφισμα παράνομον. — *παράνομα . . . γεγραφέναι*] ὅτι εἶχε προτείνει ψήφισμα παράνομον· ὑποκ. εἶναι Καλλίξεινον. — *εἰ μή τις ἐάσει*] ἡ αἰτία τοῦ *δεινὸν εἶναι.*

§ 13. *καὶ ἐπὶ τούτοις*] καὶ μετὰ ταῦτα. — *εἰπόντος Λυκ.*] ὅτε ἐπρότεινεν ὁ Λυκ. — *καὶ τούτους*] δηλ. Εὐρυπτόλεμόν τε καὶ ἄλλους τινάς· § 12. — *τῇ αὐτῇ ψήφῳ κρίνεσθαι*] δηλ. περὶ ζωῆς ἢ θανάτου. — *ἐὰν μὴ ἀφῶσι τὴν κλῆσιν*] ἐὰν δὲν παραιτήσωσι τὴν γραφὴν παρανόμων, ἣν ἔφερον κατὰ τοῦ Καλλιξ. ἡ ἀπόδοσις κρίνεσθαι. — *ἐπεθορύβησε*] θορυβήσας ἐπεδοκίμασε.

§ 14. *τῶν δὲ πρυτάνεων*] γεν. διαιρετ. ἐκ τοῦ *τινῶν*. Ἡ βουλὴ τῶν 500 διῃρεῖτο εἰς δέκα μερίδας, ἐκ 50 βουλευτῶν ἑκάστης φυλῆς· πᾶσα δὲ μερὶς εἶχε τὴν προεδρείαν τῆς βουλῆς καὶ τῆς ἐκκλησίας τοῦ δήμου ἐπὶ 35 ἡμέρας. Ὁ χρόνος οὗτος ἐλέγετο *πρυτανεία*, οἱ βουλευταὶ *πρυτάνεις*, καὶ ἡ φυλὴ *πρυτανεύουσα*. Οἱ δὲ πρυτάνεις ἐξέλεγον καθ' ἑκάστην ἕνα πρόεδρον, ὅστις ἐλέγετο *ἐπιστάτης*. — *οὐ προθήσειν τὴν διαψήφισιν*] ὅτι δὲν θὰ θέσωσιν εἰς ψηφοφορίαν. Προτιθέναι τὴν διαψήφισιν=ἐπιψηφίζειν. *τὰ αὐτά*]=τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, ᾗπερ καὶ τοὺς στρατηγούς.

§ 15. *οἱ δὲ*] δηλ. ὁ ὄχλος, σχῆμα κατὰ σύνεσιν. — *ἐβόων*] βοῶντες ἀπῄτουν. — *καλεῖν*] εἰς δίκην. — *τοὺς οὐ φάσκοντας*]=τοὺς φάσκοντας οὐ προθήσειν τὴν διαψήφισιν. — *πλὴν Σωκρ.*] ἰδὲ Ξενοφ. Ἀπομν. 1, 1, 18, Πλάτ. Ἀπολ. 32 β. — *οὐκ . . . ποιήσειν*]=ἔφη οὐ ποιήσειν τοῦτο (προθήσειν), ἀλλ' (ἀλλὰ) ἢ ποιήσειν πάντα κατὰ νόμον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τὰ μὲν κατηγορήσων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέβην ἐν- 16
θάδε Περικλέους ἀναγκαίου μοι ὄντος καὶ ἐπιτηδείου καὶ
Διομέδοντος φίλου, τὰ δ' ὑπεραπολογησόμενος, τὰ δὲ συμ-
βουλεύσων, ἅ μοι δοκεῖ ἄριστα εἶναι ἁπάσῃ τῇ πόλει. Κα- 17
τηγορῶ μὲν οὖν αὐτῶν, ὅτι μετέπεισαν τοὺς συνάρχοντας
βουλομένους πέμπειν γράμματα τῇ τε βουλῇ καὶ ὑμῖν, ὅτι
ἐπέταξαν τῷ Θηραμένει καὶ Θρασυβούλῳ τετταράκοντα
καὶ ἑπτὰ τριήρεσιν ἀνελέσθαι τοὺς ναυαγούς, οἱ δὲ οὐκ
ἀνείλοντο. Εἶτα νῦν τὴν αἰτίαν κοινὴν ἔχουσιν ἐκείνων 18
ἰδίᾳ ἁμαρτόντων καὶ ἀντὶ τῆς τότε φιλανθρωπίας νῦν ὑπ'
ἐκείνων τε καί τινων ἄλλων ἐπιβουλευόμενοι κινδυνεύου-
σιν ἀπολέσθαι; Οὔκ, ἂν ὑμεῖς γέ μοι πίθησθε τὰ δίκαια 19
καὶ ὅσια ποιοῦντες, καὶ ὅθεν μάλιστ' ἀληθῆ πεύσεσθε
καὶ οὐ μετανοήσαντες ὕστερον εὑρήσετε σφᾶς αὐτοὺς
ἡμαρτηκότας τὰ μέγιστα εἰς θεούς τε καὶ ὑμᾶς αὐτούς.

---

§ 16. *τὰ μέν . . . τὰ δέ*] ἀφ' ἑνὸς μὲν . . . ἀφ' ἑτέρου δέ.—*ἐνθάδε*] ἐπὶ τὸ βῆμα.—*ἀναγκαίου*] συγγενοῦς.—*ὄντος*] ἂν καὶ εἶναι.—*ἐπιτηδείου*] οἰκείου.—*ὑπεραπολογησόμενος*]=ἀπολογησόμενος ὑπὲρ αὐτῶν· ἡ μετοχὴ τελική.

§ 17. *κατηγορῶ*] εἰρωνικῶς· δηλ. κατηγορῶ αὐτούς, ὅτι ἀπὸ φιλανθρωπίαν δὲν ἠθέλησαν νὰ κατηγορήσωσι τὸν Θηραμένη καὶ Θρασύβουλον, οἵτινες τώρα κατηγοροῦσιν αὐτούς.—*μετέπεισαν*] ἐνν. μὴ πέμπειν, τοὺς ἐμπόδισαν νὰ πέμψωσιν.—*γράμματα*] ἐπιστολήν.—*ὑμῖν*] τῷ δήμῳ.—*ὅτι ἐπέταξαν*] ἐκ τοῦ πέμπειν γράμματα, εἰς τὰ ὁποῖα νὰ γράφωσιν,—ὅτι διέταξαν κτλ.—*οἱ δὲ*] Θηραμένης καὶ Θρασύβουλος.

§ 18. *εἶτα*] καὶ ὅμως· τὸ *εἶτα* καὶ *ἔπειτα* δεικνύουσι τὴν ἀγανάκτησιν τοῦ λέγοντος, ὡς καὶ ἐπὶ ἐρωτήσεων.—*τὴν αἰτίαν ἔχουσι*] κατηγοροῦνται.—*ἐκείνων*] ἐνῷ ἐκεῖνοι, δηλ. ὁ Θηραμ. καὶ Θρασύβ.—*τῆς τότε φιλανθρωπίας*] ὅτι ἐν τῇ ἐπιστολῇ των δὲν κατηγόρησαν τὸν Θηραμ. καὶ Θρασύβ. ὅτι διαταχθέντες ὑπ' αὐτῶν δὲν ἐσήκωσαν τοὺς ναυαγούς.

§ 19. *οὔκ*] ἐνν. ἀπολοῦνται.—*δίκαια*] τὰ περὶ ἀνθρώπους νόμιμα, ὅσια δὲ τὰ περὶ θεούς.—*καὶ ὅθεν*]=καὶ ποιοῦντες ταῦτα, ἐξ ὧν κτλ.—*πεύσεσθε*] μέλ. τοῦ πυνθάνομαι.—*σφᾶς αὐτοὺς*]=ὑμᾶς αὐτούς.—*τὰ μέγιστα*] σύ-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Συμβουλεύω δ' ὑμῖν, ἐν οἷς οὔθ' ὑπ' ἐμοῦ οὔθ' ὑπ' ἄλλου
οὐδενὸς ἔστιν ἐξαπατηθῆναι ὑμᾶς, καὶ τοὺς ἀδικοῦντας
εἰδότες κολάσεσθε, ᾗ ἂν βούλησθε δίκῃ, καὶ ἅμα πάντας
καὶ καθ' ἕνα ἕκαστον, εἰ μὴ πλέον, ἀλλὰ κἂν μίαν ἡμέ-
ραν δόντες αὐτοῖς ὑπὲρ αὑτῶν ἀπολογήσασθαι, μὴ ἄλλοις
20 μᾶλλον πιστεύοντες ἢ ὑμῖν αὐτοῖς. Ἴστε δέ, ὦ ἄνδρες
Ἀθηναῖοι, πάντες, ὅτι τὸ Καννωνοῦ ψήφισμά ἐστιν ἰσχυ-
ρότατον, ὃ κελεύει, ἐάν τις τὸν τῶν Ἀθηναίων δῆμον ἀδικῇ,
δεδεμένον ἀποδικεῖν ἐν τῷ δήμῳ, καί, ἐὰν καταγνωσθῇ ἀδι-
κεῖν, ἀποθανεῖν εἰς τὸ βάραθρον ἐμβληθέντα, τὰ δὲ χρή-
ματα αὐτοῦ δημευθῆναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον εἶ-
21 ναι. Κατὰ τοῦτο τὸ ψήφισμα κελεύω κρίνεσθαι τοὺς
στρατηγοὺς καὶ νὴ Δία, ἂν ὑμῖν γε δοκῇ, πρῶτον Περι-
κλέα τὸν ἐμοὶ προσήκοντα· αἰσχρὸν γάρ μοί ἐστιν ἐκεῖνον
22 περὶ πλείονος ποιεῖσθαι ἢ τὴν ὅλην πόλιν. Τοῦτο δ' εἰ μὴ
βούλεσθε, κατὰ τόνδε τὸν νόμον κρίνατε, ὅς ἐστιν ἐπὶ
τοῖς ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν πόλιν προδιδῷ
ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνω-*

---

στοιχον ἀντικμ. τοῦ ἡμαρτηκότας.—*ἐν οἷς*] συμβουλεύω δ' ὑμῖν ταῦτα, ἐν οἷς=δι' ὧν.—*ἔστιν*]=οἷόν τ' ἐστίν, εἶναι δυνατόν.—*ᾗ ἂν . , . δίκῃ*] μὲ οἱανδήποτε ἂν θέλητε τιμωρίαν.—*καθ' ἕνα ἕκαστον*] χωριστὰ ἕνα ἕκαστον.—*εἰ μὴ πλέον*] ἂν ὄχι περισσότερον.—*δόντες . . . ἀπολογήσασθαι*] ἀφοῦ ἐπιτρέψητε εἰς αὐτοὺς νὰ ἀπολογηθῶσιν.

§ 20. *τὸ Καννωνοῦ ψήφισμα*] «ὥστε διειλημμένους τοὺς κρινομένους ἑκατέρωθεν ἀπολογεῖσθαι». Ἡσύχιος.—*ἰσχυρότατον*] ἰσχύει μάλιστα.—*ἀποδικεῖν*]=ἀπολογεῖσθαι.—*ἐν τῷ δήμῳ*] ἐνώπιον τοῦ λαοῦ.—*ἀδικεῖν*]= ἠδικηκέναι.—*βάραθρον*] ἢ ὄρυγμα, ἦν λάκκος βαθὺς ἐν Ἀθήναις πρὸς δυσμὰς τοῦ ἀστεροσκοπείου, ὅπως ὁ *Καιάδας* ἐν Σπάρτῃ, ὅπου ἔρριπτον τοὺς καταδικασθέντας εἰς θάνατον.

§ 21. *κελεύω*] προτείνω, συμβουλεύω.—*προσήκοντα*] συγγενῆ.—*περὶ πλείονος ποιεῖσθαι*] νὰ προτιμῶ, νὰ ἐνδιαφέρωμαι περισσότερον.

§ 22. *τοῦτο δ' εἰ μὴ βούλεσθε*] ἐὰν δὲν προτιμᾶτε τοῦτο—*ὅς ἐστιν ἐπὶ τοῖς*] περιέχει τὴν ἔννοιαν τοῦ κελεύειν καὶ ἐντεῦθεν τὰ ἀπαρέμφ. μὴ ταφῆναι καὶ δημόσια εἶναι.—*ἂν καταγνωσθῇ*] ἂν καταδικασθῇ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δη-
μόσια εἶναι. Τούτων ὁποτέρῳ βούλεσθε, ὦ ἄνδρες Ἀθη- 23
ναῖοι, τῷ νόμῳ κρινέσθων οἱ ἄνδρες κατὰ ἕνα ἕκαστον
διῃρημένων τῆς ἡμέρας τριῶν μερῶν, [ἑνὸς μέν, ἐν ᾧ
συλλέγεσθαι ὑμᾶς δεῖ καὶ διαψηφίζεσθαι, ἐάν τε ἀδικεῖν
δοκῶσιν ἐάν τε μή, ἑτέρου δ', ἐν ᾧ κατηγορῆσαι, ἑτέ- 24
ρου δ' ἐν ᾧ ἀπολογήσασθαι]. Τούτων δὲ γιγνομένων
οἱ μὲν ἀδικοῦντες τεύξονται τῆς μεγίστης τιμωρίας, οἱ
δ' ἀναίτιοι ἐλευθερωθήσονται ὑφ' ὑμῶν, ὦ Ἀθηναῖοι, 25
καὶ οὐκ ἀδίκως ἀπολοῦνται. Ὑμεῖς δὲ κατὰ τὸν νό-
μον εὐσεβοῦντες καὶ εὐορκοῦντες κρινεῖτε καὶ οὐ συμ-
πολεμήσετε Λακεδαιμονίοις τοὺς ἐκείνους ἑβδομήκοντα
ναῦς ἀφελομένους καὶ νενικηκότας, τούτους ἀπολλύντες 26
ἀκρίτους παρὰ τὸν νόμον. Τί δὲ καὶ δεδιότες σφόδρα οὕ-
τως ἐπείγεσθε; Ἦ μὴ οὐχ ὑμεῖς, ὃν ἂν βούλησθε, ἀπο-
κτείνητε καὶ ἐλευθερώσητε, ἂν κατὰ τὸν νόμον κρίνητε,

---

§ 23. *τούτων*] γεν. διαιρετ. ἐκ τοῦ ὁποτέρῳ. — *ὁποτέρῳ . . . τῷ νόμῳ*] μὲ ὁποῖον ἐκ τῶν δύο τούτων νόμων, δηλ. ἢ κατὰ τὸ ψήφισμα τοῦ Καννωνοῦ (§ 20) ἢ κατὰ τὸν ἀνωτέρω νόμον (§ 22). - *διῃρημένων τῆς ἡμέρας τριῶν μερῶν*]=διῃρημένης τῆς ἡμ. εἰς τρία μέρη.

§ 24. *τεύξονται*] μέλ. τοῦ τυγχάνω.—*οὐκ ἀδίκως ἀπολοῦνται*] δὲν θὰ ἀπολεσθῶσι (χαθῶσιν) ἀδίκως μέλλ. τοῦ ἀπόλλυμαι.

§ 25. *εὐορκοῦντες*] φυλάττοντες τὸν ὅρκον σας· ὁ δὲ ὅρκος τῶν πολιτῶν Ἀθηναίων ἔλεγε· «καὶ εὐηκοήσω τῶν ἀεὶ κρινόντων ἐμφρόνως καὶ θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι καὶ οὕστινας ἂν ἄλλους τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως· καὶ ἄν τις ἀναιρῇ τοὺς θεσμοὺς ἢ μὴ πείθηται, οὐκ ἐπιτρέψω, ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων.» — *τοὺς . . . . ἀφελομένους*] ἡ σύνταξις εἶναι· ἀπολλύντες τούτους (τοὺς στρατηγούς), τοὺς ἀφελομένους ἐκείνους (τοὺς Λακεδ.. ἀπὸ τοὺς Λακεδ.) *ἑβδομ. ναῦς*· ἴδε 1, 6. 34.

§ 26. *δεδιότες*] δέδια καὶ δέδοικα παρακ. μὲ σημασίαν ἐνεστ. Ἴδε γραμμ. § 89, 2. Τὸ δὲ τί σημ. τὸ αἴτιον τοῦ φόβου.—*ἢ μὴ οὐχ..*,] ἢ *δέδιτε μὴ οὐχ . . .* λαμβάνεται ἐκ τοῦ ἡγουμένου δεδιότες· ὁ ἢ λυτικός,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλ' οὐκ ἂν παρὰ τὸν νόμον, ὥσπερ Καλλίξεινος τὴν βου-
27 λὴν ἔπεισεν εἰς τὸν δῆμον εἰσενεγκεῖν μιᾷ ψήφῳ; Ἀλλ' ἴσως ἄν τινα καὶ οὐκ αἴτιον ὄντα ἀποκτείναιτε, μεταμελῆσαι δὲ ὕστερον ἀναμνήσθητε, ὡς ἀλγεινὸν καὶ ἀνωφελὲς ἤδη ἐστί, πρὸς δ' ἔτι καὶ περὶ θανάτου ἀνθρώπου ἡμαρ-
28 τηκότας. Δεινὰ δ' ἂν ποιήσαιτε, εἰ Ἀριστάρχῳ μὲν πρότερον τὸν δῆμον καταλύοντι, εἶτα δ' Οἰνόην προδιδόντι Θηβαίοις πολεμίοις οὖσιν, ἔδοτε ἡμέραν ἀπολογήσασθαι, ᾗ ἐβούλετο, καὶ τἆλλα κατὰ τὸν νόμον προὔθετε, τοὺς δὲ στρατηγοὺς τοὺς πάντα ὑμῖν κατὰ γνώμην πράξαντας, νικήσαντας δὲ τοὺς πολεμίους τῶν αὐτῶν τούτων ἀποστε-

---

—*ἀλλ' οὐκ*]=καὶ οὐκ, ἐνν. δέδιτε.—*ἂν παρὰ τὸν νόμον*] ἐνν. κρίνητε.—*ὥσπερ*] δηλ. παρὰ τὸν νόμον.—*εἰσενεγκεῖν*] νὰ προτείνῃ ἡ βουλὴ εἰς τὸν δῆμον.—*μιᾷ ψήφῳ*] ἐνν. κρίνειν.

§ 27. *ἀλλ' ἴσως ἂν . . . ἀποκτείναιτε*] ἀλλ' εἰ τοῦτο ποιήσαιτε, ἴσως ἂν ἀποκτείναιτε.—*καὶ οὐκ αἴτιον ὄντα*] καὶ ἀθῷον· ὁ *καὶ* καὶ ἡ μετοχὴ ἐναντιωμ.—*μεταμελῆσαι*] ἐνν. ὑμῖν τούτου νὰ μετανοήσητε διὰ τοῦτο.—*ἀναμνήσθητε*] συλλογισθῆτε.—*ὡς ἀλγεινόν*] τὸ ὡς εἰδικόν.—*ἤδη*] τότε πλέον, δηλ. ἀφοῦ τὸν ἐφονεύσατε.—*ἐστί*] τὸ *μεταμελῆσαι*.—*πρὸς δ' ἔτι καί*] προσέτι δὲ καὶ μάλιστα ἐάν.—*ἡμαρτηκότας*] συμφωνεῖ πρὸς τὸ ὑποκείμ. τοῦ μεταμελῆσαι.

§ 28. *δεινὰ δ' ἂν ποιήσαιτε, εἰ Ἀρ. μὲν . . . ἔδοτε . . ., τοὺς δὲ στρατηγούς . . . . ἀποστερήσετε*] ἐὰν ἀποστερήσετε τοὺς στρ., ἐνῷ εἰς τὸν Ἀρ. ἔδοτε . . ., ἠθέλετε κάμῃ φοβερὰ πράγματα.—*Ἀρίσταρχος*] Ἀθηναῖος ἀνῆκεν εἰς τὴν ἀριστοκρατικὴν μερίδα, ἥτις τῷ 411 πρ. Χρ. κατέλυσε τὴν δημοκρατίαν ἐν Ἀθήναις καὶ κατέστησε τὴν βουλὴν τῶν 400 καὶ τὸ ὀλιγαρχικὸν πολίτευμα· εἶτα δὲ καταλυθείσης τῆς ὀλιγαρχίας ἐκείνης ὁ Ἀρίστ. λαβὼν τοξότας τινὰς ἐχώρει πρὸς τὴν Οἰνόην, ἥτις ἦν φρούριον τῶν Ἀθηναίων ἐν τοῖς μεθορίοις τῆς Βοιωτίας καὶ ἐπολιόρκουν αὐτὴν οἱ Κορίνθιοι καὶ Βοιωτοί, εἰς οὓς παρέδωκεν αὐτὴν ὁ Ἀρίστ. διὰ προδοσίας· Θουκ. 8, 98.—*καταλύοντι . . . προδιδόντι*]=εἰ καὶ κατέλυε . . . εἰ καὶ προυδίδου.—*τὸν δῆμον*] τὴν δημοκρατίαν.—*ᾗ*) καθώς· *προὔθετε*] προτίθημι λέγεται κυρίως περὶ τῶν προέδρων τῆς ἐκκλησίας τοῦ δήμου τῶν Ἀθ. καὶ σημ. δίδω ἐξουσίαν εἰς τὸν βουλόμενον ν' ἀγορεύσῃ.—*τῶν αὐτῶν τούτων*] δηλ. τοῦ διδόναι ἡμέραν ἀπολογήσασθαι καὶ τῶν ἄλλων κατὰ τὸν νόμον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρήσετε. Μὴ ὑμεῖς γε, ὦ Ἀθηναῖοι, ἀλλ' ἑαυτῶν ὄντες τοὺς 29
νόμους, δι' οὓς μάλιστα μέγιστοί ἐστε, φυλάττοντες ἄνευ
τούτων μηδὲν πράττειν πειρᾶσθε. Ἐπανέλθετε δὲ καὶ ἐπ'
αὐτὰ τὰ πράγματα, καθ' ἃ καὶ αἱ ἁμαρτίαι δοκοῦσι γεγε-
νῆσθαι τοῖς στρατηγοῖς. Ἐπεὶ γὰρ κρατήσαντες τῇ ναυ-
μαχίᾳ εἰς τὴν γῆν κατέπλευσαν, Διομέδων μὲν ἐκέλευεν
ἀναχθέντας ἐπὶ κέρως ἅπαντας ἀναιρεῖσθαι τὰ ναυάγια καὶ
τοὺς ναυαγούς, Ἐρασινίδης δ' ἐπὶ τοὺς πρὸς Μυτιλήνην
πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας· Θράσυλλος δὲ ἀμ-
φότερ' ἂν ἔφη γενέσθαι, ἂν τὰς μὲν αὐτοῦ καταλίπωσι, ταῖς
δὲ ἐπὶ τοὺς πολεμίους πλέωσι· καὶ δοξάντων τούτων κα- 30
ταλιπεῖν τρεῖς ναῦς ἕκαστον ἐκ τῆς αὑτοῦ συμμορίας τῶν
στρατηγῶν ὀκτὼ ὄντων καὶ τὰς τῶν ταξιάρχων δέκα καὶ
τὰς Σαμίων δέκα καὶ τὰς τῶν ναυάρχων τρεῖς, αὗται
ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα, τέτταρες περὶ
ἑκάστην ναῦν τῶν ἀπολωλυιῶν δώδεκα οὐσῶν. Τῶν δὲ 31
καταλειφθέντων [τριηράρχων] ἦσαν καὶ Θρασύβουλος

---

§ 29. *μὴ ὑμεῖς γε*] ἐνν. *ποιεῖτε ταῦτα*.—*ἑαυτῶν*]=ὑμῶν αὐτῶν.—*μάλιστα*] ἐπιτείνει τὴν σημασίαν τοῦ *δι' οὓς*.—*ἄνευ τούτων*] τῶν νόμων.—*δοκοῦσι*] ἐνν. ὑμῖν.—*τοῖς στρατηγοῖς*] συντ. § 28, α', 2.—*γὰρ*] δηλαδή.—*εἰς τὴν γῆν*] εἰς τὰς Ἀργινούσας 1, 6, 33 —*ἐπὶ κέρως*] εἰς μίαν σειρὰν τὰ πλοῖα τὸ ἓν ὄπισθεν τοῦ ἄλλου.—*Ἐρασινίδης δ'* (ἐκέλευε) *πλεῖν ἅπαντας τὴν ταχίστην πρὸς Μυτιλήνην ἐπὶ τοὺς* (ἐν αὐτῇ) *πολεμίους*.—*τὴν ταχίστην*] τάχιστα.—*Θράσυλλος*] ὅστις τὴν ἡμέραν ἐκείνην εἶχε τὴν στρατηγίαν. — *ἂν γενέσθαι*]=γένοιτο ἄν, ἀπόδοσις τοῦ ὑποθετικοῦ, ἂν καταλίπωσιν.—*τὰς μὲν*) ἐνν ἡ γεν. διαιρετ. *τῶν νεῶν*.—*αὐτοῦ*] ἐπίρρ. τοπικόν, ἐν Ἀργινούσαις.

§ 30. *δοξάντων τούτων*]=ἐὰν ταῦτα δόξῃ.—*καταλιπεῖν*] ἐνν. ἔφη.—*συμμορίας*] μέρος τοῦ στόλου ὑπὸ τὰς διαταγὰς ἑκάστου τῶν στρατηγῶν, μοῖρα.—*δώδεκα*] τὰ ἀπολεσθέντα πλοῖα ἦσαν 25 (1, 6, 34), ἀλλ' ἐνταῦθα λέγει μόνον 12, διότι φαίνεται, ὅτι τὰ 13 εἶχον βυθισθῆ διαρκούσης τῆς μάχης καὶ μόνον 12 ἔμενον ἀκόμη εἰς τὴν ἐπιφάνειαν τῆς θαλάσσης μετὰ τὴν μάχην, τὰ ὁποῖα ἠδύναντο νὰ σωθῶσιν.

§ 31. *τῶν . . τριηράρχων*] γεν. διαιρ. κατηγορούμενον· συντ. § 3, 6.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ κατηγόρει
τῶν στρατηγῶν. Ταῖς δὲ ἄλλαις ναυσὶν ἔπλεον ἐπὶ τὰς πο-
λεμίας. Τί τούτων οὐχ ἱκανῶς καὶ καλῶς ἔπραξαν; Οὐ-
κοῦν δίκαιον τὰ μὲν πρὸς τοὺς πολεμίους μὴ καλῶς πρα-
χθέντα τοὺς πρὸς τοῦτο ταχθέντας ὑπέχειν λόγον, τοὺς
δὲ [τὰ] πρὸς τὴν ἀναίρεσιν μὴ ποιήσαντας, ἃ οἱ στρατη-
32 γοὶ ἐκέλευσαν, διότι οὐκ ἀνείλοντο κρίνεσθαι. Τοσοῦτον δ᾽
ἔχω εἰπεῖν ὑπὲρ ἀμφοτέρων. ὅτι ὁ χειμὼν διεκώλυσε μη-
δὲν πρᾶξαι, ὧν οἱ στρατηγοὶ παρεκελεύσαντο. Τούτων δὲ
μάρτυρες οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν
ἡμετέρων στρατηγῶν ἐπὶ καταδύσης νεὼς διασωθείς, ὃν
κελεύουσι τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, [καὶ αὐτὸν τότε δεό-
μενον ἀναιρέσεως], ἧπερ τοὺς οὐ πράξαντας τὰ προστα-
33 χθέντα. Μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ μὲν τῆς
νίκης καὶ τῆς εὐτυχίας ὅμοια ποιήσητε τοῖς ἡττημένοις τε
καὶ ἀτυχοῦσιν, ἀντὶ δὲ τῶν ἐκ θεοῦ ἀναγκαίων ἀγνωμο-
νεῖν δόξητε προδοσίαν καταγνόντες ἀντὶ τῆς ἀδυναμίας,

---

—*ἔπλεον*]=ἠβούλοντο πλεῦσαι· ἰδὲ 1, 6, 35.—*ἔπραξαν*] οἱ κατηγορούμενοι στρατηγοί.—*τά μὴ καλῶς πραχθέντα*] αἰτ. τοῦ κατά τι εἰς τὸ ὑπέχειν λόγον ἀντὶ γεν.—*κρίνεσθαι*] δίκαιον κρίνεσθαι τοὺς πρὸς τὴν ἀναίρεσιν ταχθέντας.—*διότι*]=διὰ τί οὐκ ἀνείλοντο, πλαγία ἐρώτησις.

§ 32. *τοσοῦτον*] τόσον μόνον.—*ἔχω εἰπεῖν*] τὸ ἔχω μετ᾽ ἀπαρέμφ. σημ. δύναμαι.—*μηδὲν ὧν*]=μηδὲν τούτων, ἅ, καθ᾽ ἕλξιν.—*ἀπὸ τοῦ αὐτομάτου*]=αὐτομάτως, τυχαίως.—*ὧν εἷς τῶν ἡμετέρων στρατηγῶν*]=εἷς τῶν ἡμετέρων στρατηγῶν (ἐστιν). ὧν (=τούτων, δηλ. τῶν σωθέντων ἀπὸ τοῦ αὐτομάτου).—*κελεύουσιν*] οἱ κατήγοροι.—*ᾗπερ*] ψήφῳ.

§ 33. *μὴ τοίνυν....ποιήσητε...ἀγνωμονεῖν δόξητε*] δηλ. ἐνῷ ἐνικήσατε καὶ εὐτυχήσατε, μὴ κάμητε ὅμοια μὲ τοὺς νικηθέντας καὶ δυστυχοῦντας (ὡς νὰ ἐνικήθητε καὶ ἐδυστυχήσατε), καὶ ἐνῷ ἡ πεπρωμένη μοῖρα (οἱ θεοὶ) σᾶς ἐβοήθησε, μὴ φανῆτε ἀγνώμονες.—*τῶν ἐκ θεοῦ ἀναγκαίων*] κατ᾽ ἀναγκαίαν μοῖραν ἐκ θεοῦ γινομένων, τοῦ πεπρωμένου.—*ἀντὶ τῆς ἀδυναμίας*] καὶ ὄχι ἀδυναμίαν.—*οὐχ ἱκανοὺς γενομένους*] ἐνν. αὐτοὺς ἀντικ. τοῦ καταγνόντες, ὅπερ ἐνταῦθα συντάσσεται διπλῇ αἰτ., καταγνόν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

[οὐχ ἱκανοὺς γενομένους διὰ τὸν χειμῶνα πρᾶξαι τὰ προσταχθέντα]· ἀλλὰ πολὺ δικαιότερον στεφάνοις γεραίρειν τοὺς νικῶντας ἢ θανάτῳ ζημιοῦν πονηροῖς ἀνθρώποις πειθομένους.

Ταῦτ' εἰπὼν Εὐρυπτόλεμος ἔγραψε γνώμην κατὰ τὸ 34 Καννωνοῦ ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας δίχα ἕκαστον· ἡ δὲ τῆς βουλῆς ἦν μιᾷ ψήφῳ ἅπαντας κρίνειν. Τούτων δὲ διαχειροτονουμένων τὸ μὲν πρῶτον ἔκριναν τὴν Εὐρυπτολέμου· ὑπομοσαμένου δὲ Μενεκλέους καὶ πάλιν διαχειροτονίας γενομένης ἔκριναν τὴν τῆς βουλῆς. Καὶ μετὰ ταῦτα κατεψηφίσαντο τῶν ναυμαχησάντων στρατηγῶν ὀκτὼ ὄντων. Ἀπέθανον δὲ οἱ παρόντες ἕξ. Καὶ οὐ πολλῷ 35 χρόνῳ ὕστερον μετέμελε τοῖς Ἀθηναίοις καὶ ἐψηφίσαντο, οἵτινες τὸν δῆμον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι καὶ ἐγγυητὰς καταστῆσαι, ἕως ἂν κριθῶσιν, εἶναι δὲ καὶ Καλλίξεινον τούτων. Προυβλήθησαν δὲ καὶ ἄλλοι τέτταρες καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. Ὕστερον δὲ στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανεν, ἀπέδρασαν οὗ-

---

τες προδοσίαν αὐτούς. εἶναι δὲ ἐπεξήγησις τοῦ ἀδυναμίας.—*γεραίρειν*] τιμᾶν.—*τοὺς νικῶντας*]=τοὺς νενικηκότας.—*πειθομένους*] ὑμᾶς, ὑποκ. τοῦ ζημιοῦν.

§ 34. *ἔγραψε γνώμην*] ἰδὲ § 12.—*κατὰ τὸ Καννωνοῦ ψήφισμα*] ἰδὲ § 20.—*ἡ δὲ τῆς βουλῆς*] ἐνν. γνώμη.—*τούτων δὲ διαχειροτονουμένων*] ὅτε δὲ ἐγίνετο ψηφοφορία (χειροτονία) περὶ τούτων, δηλ. περὶ τῶν γνωμῶν τοῦ Εὐρυπτ. καὶ τῆς βουλῆς.—*ἔκριναν*] =ἐνέκριναν, ἐδέξαντο.—*ὑπομοσαμένου*] ἀφοῦ δὲ ὁ Μενεκλῆς ἐζήτησεν ἀναβολὴν τῆς δίκης.—*κατεψηφίσαντο*] κατεδίκασαν διὰ ψηφοφορίας.

§ 35. *μετέμελε τοῖς Ἀθην.*] μετεμελήθησαν οἱ Ἀθ.—*προβολὴ*] κατηγορία κατὰ τῶν συκοφαντούντων.—*εἶναι δὲ καὶ Καλλ. τούτων*] ἐψηφίσαντο καὶ Καλλ. (ὑποκ.) εἶναι τούτων (ἕνα τῶν ἐξαπατησάντων κατηγ. γεν. διαιρ.).—*προυβλήθησαν*] προβολὴ ἐγένετο καὶ κατ' ἄλλων τεσσάρων.—*ὕστερον δὲ*] 405 π. Χ.—*Κλεοφῶν*] δημαγωγὸς ἐχθρὸς τῶν ὀλιγαρχικῶν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*τοι, πρὶν κριθῆναι· Καλλίξεινος δὲ κατελθών, ὅτε καὶ οἱ ἐκ Πειραιῶς, εἰς τὸ ἄστυ μισούμενος ὑπὸ πάντων λιμῷ ἀπέθανεν.*

---

ὑφ' ὧν ἐφονεύθη. — *πρὶν κριθῆναι*] πρὶν νὰ δικασθῶσιν. — *κατελθών*] κατέρχομαι· ἐπιστρέψας ἐκ τῆς ἐξορίας.— *ὅτε καὶ οἱ ἐκ Πειραιῶς*] ἐνν. κατῆλθον. Οἱ ἐκ Πειραιῶς ἢ οἱ ἐν Πειραιεῖ ἐλέγοντο οἱ περὶ τὸν Θρασύβουλον, οἱ δημοκρατικοί· τὸ δ' ἀντίθετον οἱ ἐκ τοῦ ἄστεως ἢ οἱ ἐν τῷ ἄστει οἱ ὀλιγαρχικοί.— *εἰς τὸ ἄστυ*] ἐν ἀντιθέσει πρὸς τὸν Πειραιᾶ ἄστυ λέγεται ἡ πόλις τῶν Ἀθηνῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

*Κεφ. Α΄.* *Οἱ δ' ἐν τῇ Χίῳ μετὰ τοῦ Ἐτεονίκου στρα-* 1
*τιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέ-*
*φοντο καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν· ἐπεὶ δὲ*
*χειμὼν ἐγένετο καὶ τροφὴν οὐκ εἶχον γυμνοί τε ἦσαν καὶ*
*ἀνυπόδητοι, συνίσταντο ἀλλήλοις καὶ συνετίθεντο ὡς τῇ*
*Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέσκοι, κάλαμον φέρειν*
*ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν, ὁπόσοι εἴησαν. Πυθόμενος* 2
*δὲ τὸ σύνθημα ὁ Ἐτεόνικος ἀπόρως μὲν εἶχε, τί χρῷτο*
*τῷ πράγματι διὰ τὸ πλῆθος τῶν καλαμηφόρων τό τε*

---

§ 1. *οἱ δ' ἐν τῇ Χίῳ κτλ.*] συνέχεια τοῦ 1, 6, 38. Ὁ Ἐτεόνικος ἐκ Μηθύμνης ἔπλευσεν εἰς Χίον.—*ἀπὸ τῆς ὥρας*] ἀπὸ τοὺς καρποὺς τῆς ὥρας τοῦ ἔτους. Ὥρα ἐνταῦθα σημ. τὸ θέρος. - *ἐργαζόμενοι*]=ἀπὸ τῆς ἐργασίας· μετχ. ὀργαν. συντ. § 25, 2, 3.—*μισθοῦ*] γεν. τοῦ τιμήματος.—*χειμὼν*] τοῦ 406 π. Χ. — *συνίσταντο καὶ συνετίθεντο*] συνηνοῦντο καὶ συνεφώνουν.—*ὡς...ἐπιθησόμενοι*] τελικά.—*οἷς...ἀρέσκοι*] ἐδόκει φέρειν κάλαμον τούτους (ὑποκ. τοῦ φέρειν), οἷς ἀρέσκοι ταῦτα (τὸ νὰ ἐπιτεθῶσι κατὰ τῆς Χίου).—*ὁπόσοι εἴησαν*] πλαγία ἐρώτησις.

§ 2. *τὸ σύνθημα*] κάλαμον φέρειν.—*ἀπόρως μὲν εἶχε*]=ἐν ἀπορίᾳ ἦν, ἠπόρει· ἡ ἀπόδοσις ἐν § 3 ἀναλαβὼν δέ.—*τί χρῷτο τῷ πράγματι*] ἀντὶ ὅ,τι χρῷτο, διότι εἶναι πλαγία ἐρώτησις, ἥτις σημ. ἀπορίαν περὶ τοῦ πρακτέου καὶ ἐκφέρεται κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου, ἄλλως δὲ ἤθελεν εἶναι καθ' ὑποτακ. Ἡ δ' αἰτ. τί εἶναι τοῦ συστοίχου ἀντικ.=*τίνα χρῆσιν χρῷτο.*—*καλαμηφόρος*] γραμμ. § 117, 4.—*ἐκ τοῦ ἐμ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ ἐκ τοῦ ἐμφανοῦς ἐπιχειρῆσαι σφαλερὸν ἐδόκει εἶναι,
μὴ εἰς τὰ ὅπλα ὁρμήσωσι καὶ τὴν πόλιν κατασχόντες καὶ
πολέμιοι γενόμενοι ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν
κρατήσωσι, τό τ' αὖ ἀπολλύναι ἀνθρώπους συμμάχους
πολλοὺς δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ εἰς τοὺς ἄλλους
Ἕλληνας διαβολὴν σχοῖεν καὶ οἱ στρατιῶται δύσνοι πρὸς
3 τὰ πράγματα ὦσιν· ἀναλαβὼν δὲ μεθ' ἑαυτοῦ ἄνδρας
πεντεκαίδεκα ἐγχειρίδια ἔχοντας ἐπορεύετο κατὰ τὴν
πόλιν καὶ ἐντυχὼν τινι ὀφθαλμιῶντι ἀνθρώπῳ ἀπιόντι
4 ἐξ ἰατρείου κάλαμον ἔχοντι ἀπέκτεινε. Θορύβου δὲ γενο-
μένου καὶ ἐρωτώντων τινῶν, διὰ τί ἀπέθανεν ὁ ἄν-
θρωπος, παραγγέλλειν ἐκέλευεν ὁ Ἐτεόνικος, ὅτι τὸν κά-
λαμον εἶχε. Κατὰ δὲ τὴν παραγγελίαν ἐῤῥίπτουν πάντες,
ὅσοι εἶχον, τοὺς καλάμους ἀεὶ ὁ ἀκούων δεδιώς, μὴ
5 ὀφθείη ἔχων. Μετὰ δὲ ταῦτα ὁ Ἐτεόνικος συγκαλέσας

---

*φανοῦς*] φανερὰ συντ. 25,2.—*τό...ἐπιχειρῆσαι*] ἐνν. αὐτοῖς, τοῖς καλαμηφόροις, νὰ προσβάλῃ αὐτούς. —*σφαλερὸν*] ἐπικίνδυνον.—*μὴ...ὁρμήσωσι*] διστακτικὴ πρότασις ἐκ τοῦ *σφαλερὸν εἶναι*, ὅπερ ἔχει ἔννοιαν φόβου, ὡς καὶ τὸ κατωτέρω *μὴ..σχοῖεν* ἐκ τοῦ δεινόν, συντ. § 58, 7.—*ἂν κρατήσωσι*] ἂν νικήσωσιν· ἡ ἀπόδοσις εἶναι τό, ἀπολέσωσι τὰ πρ. — *τό τ' αὖ*] ἀφ' ἑτέρου δέ.—*ἀπολλύναι*] ἐνν. *ἂν αὐτὸς κρατήσῃ*.—*συμμάχους*] ὅσοι ἐκ τοῦ στρατεύματος ἔλαβον μέρος εἰς τὴν συνωμοσίαν.—*μὴ . . . διαβολὴν σχοῖεν*]=διαβληθεῖεν, ἐνν. οἱ Λακεδαιμόνιοι.—*μὴ . . . σχοῖεν καὶ . . . ὦσιν*] ἡ μὲν εὐκτ. παρίστησιν ἁπλῶς τὴν ἰδέαν τοῦ Ἐτεονίκου, ἡ δὲ ὑποτακτ., ὡς καὶ ἀνωτέρω *ὁρμήσωσι καὶ ἀπολέσωσι*, παρίστησι τὸν φόβον ζωηρῶς ἤδη παριστάμενον εἰς τὸ πνεῦμα αὐτοῦ.

§ 3. *ἐντυχὼν*] ἀπαντήσας.—*ὀφθαλμιῶντι*] πάσχοντι ὀφθαλμίαν, πονόμματον· γραμμ. § 113, 1, σημ.

§ 4. *διὰ τί ἀπέθανεν*] πλαγία ἐρώτησις· διατί ἐφονεύθη.—*ὅτι*]=διότι.—*ἐῤῥίπτουν*] ὁ ἐνεστ. *ῥιπτέω* καὶ *ῥίπτω*.—*ἀεὶ ὁ ἀκούων*] πάντες ἐῤῥίπτουν, ἀεὶ ὁ ἀκούων (ἑκάστοτε πᾶς, ὃς ἤκουεν, ἐῤῥίπτει).—*μὴ ὀφθείη*] πλαγία ἐρώτησις κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου, τοῦ δεδιώς (=ἐπειδὴ ἐδεδίει).—*ἔχων*] τὸν κάλαμον.

§ 5. *συνενεγκεῖν*] συμφέρω, νὰ συνεισφέρωσιν.—*μὴ νεωτερίσωσί τι*] μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς Χίους χρήματα ἐκέλευσε συνενεγκεῖν, ὅπως οἱ ναῦται
λάβωσι μισθὸν καὶ μὴ νεωτερίσωσί τι· οἱ δὲ εἰσήνεγκαν·
ἅμα δὲ εἰς τὰς ναῦς ἐσήμηνεν εἰσβαίνειν· προσιὼν δὲ ἐν
μέρει παρ' ἑκάστην ναῦν παρεθάῤῥυνέ τε καὶ παρῄνει
πολλὰ ὡς τοῦ γεγενημένου οὐδὲν εἰδὼς καὶ μισθὸν ἑκά-
στῳ μηνὸς διέδωκε. Μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι 6
σύμμαχοι συλλεγέντες εἰς Ἔφεσον ἐβουλεύσαντο περὶ τῶν
ἐνεστηκότων πραγμάτων πέμπειν εἰς Λακεδαίμονα πρέ-
σβεις ταῦτά τε ἐροῦντας καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς
ναῦς εὖ φερόμενον παρὰ τοῖς συμμάχοις κατὰ τὴν προτέ-
ραν ναυαρχίαν, ὅτε καὶ τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμαχίαν.
Καὶ ἀπεπέμφθησαν πρέσβεις, σὺν αὐτοῖς δὲ καὶ παρὰ 7
Κύρου ταὐτὰ λέγοντες ἄγγελοι. Οἱ δὲ Λακεδαιμόνιοι ἔδο-
σαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Ἄρακον·
οὐ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν· τὰς μέντοι
ναῦς παρέδοσαν Λυσάνδρῳ [ἐτῶν ἤδη τῷ πολέμῳ πέντε
καὶ εἴκοσι παρεληλυθότων].

[Τούτῳ δὲ τῷ ἐνιαυτῷ καὶ Κῦρος ἀπέκτεινεν Αὐτοβοι- 8
σάκην καὶ Μιτραῖον υἱεῖς ὄντας τῆς Δαρειαίου ἀδελφῆς

---

ποιήσωσι νεωτερισμόν τινα, μεταβολήν, ἀνατροπήν.—*οἱ δέ*] Χῖοι.—*ἐσήμηνεν*] ὁ Ἐτεόνικος διὰ τοῦ σαλπιγκτοῦ· συντ. § 35, σημ. 1.—*ἐν μέρει*] ἐφεξῆς, κατὰ σειράν.—*ὡς . . . οὐδὲν εἰδώς*] ὡς νὰ μὴ ἐγνώριζε τίποτε.—*τοῦ γεγενημένου*] τῆς συνωμοσίας.

§ 6. *ἐροῦντας καὶ . . . αἰτήσοντας*] τελ. μετχ. ἐκ τοῦ πέμπειν, οἵτινες νὰ εἴπωσι καὶ νὰ ζητήσωσιν.—*ἐπὶ τὰς ναῦς*] ναύαρχον. ἰδὲ 1, 1, 32.—*εὖ φερόμενον*] ἔχοντα καλὴν ὑπόληψιν, ἀγαπώμενον· τὸ ἀντίθετον πονήρως φερόμενον 1. 5, 17.—*ἐνίκησε ναυμαχίαν*] σύστοιχον ἀντὶ ἐνίκησε νίκην ναυμαχίας. Ἰδὲ 1, 5, 14.

§ 7. *ἐπιστολέα*] ὑποναύαρχον ἰδὲ 1, 1, 23. Κατὰ Διόδωρον ὅμως «Ἄρακον μὲν εἵλοντο ναύαρχον, τὸν δὲ Λύσανδρον *ἰδιώτην* αὐτῷ συνέπεμψαν, προστάξαντες ἀκούειν ἅπαντα τούτου.» — *οὐ γὰρ νόμος*]=οὐ νομίζεται, δὲν ἐπιτρέπεται ὑπὸ τοῦ νόμου.

§ 8. *ὅτι*] διότι. — *διέωσαν*] ἐνεστ. διωθέω.—*δ*] τὸ διωθεῖν διὰ τῆς κό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς τοῦ Ξέρξου τοῦ Δαρείου πατρός, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας, ὃ ποιοῦσι βασιλεῖ μόνον· ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρίς, ἐν ᾗ
9 τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύναιτο ποιῆσαι. Ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον πρὸς Δαρειαῖον δεινὸν εἶναι, εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου· ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀῤῥωστῶν πέμψας ἀγγέλους.]

405 π. Χ. Τῷ δ' ἐπιόντι ἔτει [ἐπὶ Ἀρχύτα μὲν ἐφορεύοντος, ἄρχοντος δ' ἐν Ἀθήναις Ἀλεξίου] Λύσανδρος ἀφικόμενος εἰς Ἔφεσον μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου σὺν ταῖς ναυσὶ καὶ τὰς ἄλλας πάσας συνήθροισεν, εἴ πού τις ἦν, καὶ ταύτας τ' ἐπεσκεύαζε καὶ ἄλλας ἐν Ἀντάνδρῳ ἐναυ-
11 πηγεῖτο. Ἐλθὼν δὲ παρὰ Κῦρον χρήματα ᾔτει· ὁ δ' αὐτῷ εἶπεν, ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη καὶ ἔτι πλείω πολλῷ δεικνύων, ὅσα ἕκαστος τῶν ναυάρχων ἔχοι,
12 ὅμως δ' ἔδωκε. Λαβὼν δὲ ὁ Λύσανδρος τἀργύριον ἐπὶ τὰς τριήρεις τριηράρχους ἐπέστησε καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. Παρεσκευάζοντο δὲ καὶ οἱ

---

ρης τὰς χεῖρας.—*ἔχων*] ἐνν. τίς.—*ἂν δύναιτο*] ἡ ὑπόθεσις ἐνν. εἰ βούλοιτο.

§ 9. *Ἱεραμένης*] πατὴρ τῶν φονευθέντων.—*δεινὸν εἶναι εἰ*] ἴδε 1, 7, 12 καὶ 28.—*περιόψεται*] περιορῶ.—*τὴν λίαν ὕβριν*] τὸ ἐπίρρ. ἀντὶ ἐπίθ., τὴν ὑπερβολικήν.—*ὡς ἀῤῥωστῶν*] ἐπειδὴ δῆθεν ἦτο ἄῤῥωστος.

§ 10. *τῷ δ' ἐπιόντι ἔτει*] 405 π. Χ. 27ον ἔτος τοῦ πολέμου.—*ἐφορεύοντος*] ἐφόρου ὄντος.—*εἴ που*] = ὅπου.—*ἐναυπηγεῖτο*] ἐκ τοῦ ναῦς-πήγνυμι· μέσον διάμεσον· συντ. § 35. 3, ε'.

§ 11. *χρήματα ᾔτει*] ἐνν. αὐτόν. συντ. § 15, α', 3.—*ὅτι . . . ἀνηλωμένα εἴη*] ἀναλίσκω· κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου.—*ὅσα...ἔχοι*] ὅσα εἶχε λάβῃ· κατ' εὐκτ. ὡς ἐξ ἱστορικοῦ τοῦ δεικνύων—καὶ ἐδείκνυεν.

§ 12. *ἐπὶ τὰς τριήρεις . . . ἐπέστησε*] διώρισε νὰ διοικῶσι τὰς τριήρεις.—*πρὸς τὸ ναυτικόν*] πρὸς ναυμαχίαν § 16.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν Ἀθηναίων στρατηγοὶ [πρὸς] τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.

Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον, ἐπεὶ 13 αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων, ὅτι ἀῤῥωστῶν ἐκεῖνον καλοίη ὢν ἐν Θαμνηρίοις τῆς Μηδίας ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶτας. Ἥκοντα δὲ 14 Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ ἑαυτῷ, ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. Παρέδειξε δ' αὐτῷ πάντας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἵ αὐτῷ ἴδιοι ἦσαν, καὶ τὰ περιττὰ χρήματα ἔδωκε· καὶ ἀναμνήσας, ἧς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πόλιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα.

Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς τὰ 15 αὑτοῦ πρὸς τὸν πατέρα ἀῤῥωστοῦντα μετάπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ ἀνήχθη τῆς Καρίας εἰς

---

§ 13. *ἐπὶ τούτοις*]=μετὰ ταῦτα.—*Θαμνήρια*] χωρίον τῆς Μηδίας.—*Καδούσιοι*] ἔθνος κατοικοῦν εἰς τὰ δυτικὰ παράλια τῆς Κασπίας θαλάσσης.—*ἀφεστῶτας*]=οἱ ἀφειστήκεσαν, εἶχον ἀποστατήσῃ.

§ 14. *ἥκοντα*]=ἐληλυθότα, ἐπεὶ ἐληλύθει, ἀφοῦ εἶχεν ἔλθῃ ὁ Λ.—*οὐκ εἴα*]=ἐκώλυεν τὸ ῥ. ἐάω.—*εἶναι γάρ*] ἐνν. ἔλεγεν ἐκ τοῦ οὐκ εἴα.—*ὥστε . . . πληροῦν*] ὥστε ἠδύνατο νὰ πληρώσῃ· ἰδὲ 1, 6, 24.—*τούτου ἕνεκεν*] ὡς πρὸς τοῦτο (τὰ χρήματα), ὅσον ἐξαρτᾶται ἀπὸ αὐτό.—*παρέδειξε*=ἀπέδειξε *λαμβάνειν* (Πλούταρχ.), *συνέταξε τελεῖν τούτῳ* (Διόδ.)· ἔδειξεν εἰς αὐτὸν πάντας τοὺς φόρους τῶν πόλεων νὰ τοὺς λαμβάνῃ αὐτὸς ἐξ αὐτῶν.—*ἧς εἶχε φιλίας*] ποίαν εἶχε φιλίαν.—*ἰδίᾳ*] κατ' ἀντίθεσιν πρὸς τὸ πόλιν.

§ 15 *μετάπεμπτος*] ἐν παθ. παρακμ. σημασίᾳ· ἐνν. ὑπὸ τοῦ πατρός· συντ. § 47. 1.—*διαδούς*] μοιράσας.—*εἰς τὸν Κεράμειον κόλπον*] πρὸς νότον τῆς Καρίας.—*ὄνομα Κεδρείαις*] ἥτις ὠνομάζετο Κεδρεῖαι, καὶ ἦν πόλις τῆς Καρίας.—*τῇ ὑστεραίᾳ προσβολῇ*]=τῇ προσβολῇ τῇ γενομένῃ τῇ ὑστε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν Κεράμειον κόλπον. Καὶ προσβαλὼν πόλει τῶν Ἀθηναίων συμμάχῳ ὄνομα Κεδρείαις τῇ ὑστεραίᾳ [προσβολῇ] κατὰ κράτος αἱρεῖ καὶ ἐξηνδραπόδισεν. Ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες. Ἐκεῖθεν δ' ἀπέπλευσεν εἰς Ῥό-
16 δον. Οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Σάμου ὁρμώμενοι τὴν βασιλέως κακῶς ἐποίουν καὶ ἐπὶ τὴν Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσι προσείλοντο Μένανδρον, Τυ-
17 δέα, Κηφισόδοτον. Λύσανδρος δ' ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἔπλει πρὸς τὸν Ἑλλήσποντον πρός τε τῶν πλοίων
18 τὸν ἔκπλουν καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. Ἀνήγοντο δὲ καὶ οἱ Ἀθηναῖοι ἐκ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολεμία αὐτοῖς ἦν· Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει εἰς Λάμψακον σύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδηνοὶ καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώ-
19 ραξ Λακεδαιμόνιος. Προσβαλόντες δὲ τῇ πόλει αἱροῦσι κατὰ κράτος καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλουσίαν καὶ οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ

---

ραίᾳ ἡμέρᾳ.—*κατὰ κράτος*]=βίᾳ.—*αἱρεῖ*]=εἶλεν.=*ἐξηνδραπόδισεν*] ἐπώλησεν ὡς δούλους.—*μιξοβάρβαροι*] Ἕλληνες καὶ βάρβαροι μεμιγμένοι.—*οἱ ἐνοικοῦντες*] ἐν αὐτῇ, ταῖς Κεδρείαις.

§ 16. *τὴν βασιλέως*] ἐνν χώραν.—*κακῶς ἐποίουν*]=ἐδῄουν, ἔβλαπτον.—*πρὸς . . . προσείλοντο*] ἡ πρὸς σημ. προσθήκην, ἐξέλεξαν προσέτι καὶ ἄλλους.

§ 17. *ἔπλει*]=ἐξέπλευσε.—*πρός τε τῶν πλοίων τὸν ἔκπλουν*] ἵνα ἐμποδίζῃ νὰ ἐκπλέωσι τὰ ἐρχόμενα ἐκ τοῦ Πόντου μετὰ σίτου εἰς Ἀθήνας.—*αὐτῶν*] τῶν Λακεδαιμονίων, ὅπερ ἐνν. ἐκ τοῦ ὑποκ. Λύσανδρος, κατὰ σύνεσιν.—*πελάγιοι*]=διὰ τοῦ πελάγους, κατ' ἀντίθεσιν πρὸς τὸ *παρέπλει* ὁ Λυσ. ὅπερ σημ. ἔπλει παρὰ τὴν παραλίαν. Τὸ ἐπίθ. πελάγιοι ἔχει ἐπιρρ. τοπικοῦ σημασίαν· ἰδὲ συντ. § 5, 6'.

§ 18. *παρῆσαν*] ἤρχοντο ἐκεῖ.—*πεζῇ*] διὰ ξηρᾶς· ἀντίθετον τοῦ ἀνωτέρω παρέπλει, ὅπερ σημ. ἤρχετο διὰ θαλάσσης.

§ 19. *τὰ δὲ ἐλεύθερα σώματα*] τοὺς ἐλευθ. ἀνθρώπους· διότι «ὅταν πο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύσανδρος. Οἱ δ' 20
Ἀθηναῖοι κατὰ πόδας πλέοντες ὡρμίσαντο τῆς Χεῤῥο-
νήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν. Ἐν-
ταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ
Λάμψακον καὶ εὐθὺς ἀνήχθησαν εἰς Σηστόν. Ἐκεῖθεν 21
δ' εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν εἰς Αἰγὸς ποταμοὺς ἀν-
τίον τῆς Λαμψάκου· διεῖχε δ' ὁ Ἑλλήσποντος ταύτῃ στα-
δίους ὡς πεντεκαίδεκα. Ἐνταῦθα δὴ ἐδειπνοποιοῦντο.
Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτί, ἐπεὶ ὄρθρος ἦν, ἐσήμη- 22
νεν εἰς τὰς ναῦς ἀριστοποιησαμένους εἰσβαίνειν, πάντα δὲ
παρακευασάμενος ὡς εἰς ναυμαχίαν καὶ τὰ παραβλήματα
παραβάλλων προεῖπεν, ὡς μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως
μηδὲ ἀνάξοιτο. Οἱ δὲ Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι 23
ἐπὶ τῷ λιμένι παρετάξαντο ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν.

---

λεμούντων πόλις ἁλῷ,, τῶν ἑλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα» Ξνφ. Κ. Π. 6, 5, 73.

§ 20. *κατὰ πόδας*] ταχέως· ἡ κατὰ σημ. κατόπιν.—*τῆς Χεῤῥ. ἐν Ἐλαιοῦντι*]=ἐν Ἐλ. τῆς Χερ. Ἡ Ἐλαιοῦς εἶναι πόλις τῆς Θρακικῆς χερσονήσου εἰς τὴν εἴσοδον τοῦ Ἑλλ., ὅπου προσωρμίσθησαν οἱ Ἀθ., ἵνα ἐμποδίσωσι τὸν στόλον τῶν Λακ. νὰ εἰσέλθῃ, ἀγνοοῦντες ὅτι εἶχεν ἤδη εἰσέλθῃ. — *τὰ περὶ Λάμψακον*] ἡ ἅλωσις αὐτῆς ὑπὸ τῶν Λακ.—*ἀριστοποιουμένοις*] ἐνῷ ἔκαμνον πρόγευμα.

§ 21. *ἐπισιτισάμενοι*] προμηθευθέντες σῖτα (τροφάς).—*Αἰγὸς ποταμοί*] εἶναι κώμη καὶ πλησίον αὐτῆς ποτάμιον ἐπὶ τῆς Θρακ. Χερσονήσου.—*ἀντίον*] ἐπίρ. ἀντικρύ.—*διεῖχε*] ἀμετάβατον· εἶχε πλάτος.—*ταύτῃ*] ἐπίρ. τοπικόν, εἰς τοῦτο τὸ μέρος.

§ 22. *ἀριστοποιησαμένους*] ἐνν. τοὺς στρατιώτας, ὑποκ. τοῦ εἰσβαίνειν. —*ὡς εἰς ναυμαχίαν*] ὡς παρασκευάζονται εἰς ναυμαχίαν· ὡς διὰ νὰ ναυμαχήσῃ.—*τὰ παραβλήματα*]=παραῤῥύματα, παραπετάσματα.—*ὡς μηδεὶς κινήσοιτο . . . μηδὲ ἀνάξοιτο*] τὸ ὡς εἰδικόν· διέταξεν ὅτι κανεὶς δὲν ἔπρεπε νὰ κινηθῇ· ἡ εὐκτ. διὰ τὸν ἱστορ. χρόνον προεῖπεν. Τὸ δὲ μὴ καὶ μηδὲ διὰ τὴν ἀπαγόρευσιν· ἐν ὀρθῷ λόγῳ ἤθελεν εἶναι, μηδεὶς κινείσθω μηδὲ ἀναγέσθω. Ὁ ἐνεστ. τοῦ προεῖπεν εἶναι προαγορεύω, μελ. προερῶ, παρακ. προείρηκα.

§ 23. *ἀνίσχοντι*] ἀνατέλλοντι —*ἐν μετώπῳ*]=μετωπηδὸν (Πλουτρχ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπεὶ δὲ οὐκ ἀντανήγαγε Λύσανδρος [καὶ τῆς ἡμέρας ὀψὲ
24 ἦν], ἀπέπλευσαν πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς. Λύσαν-
δρος δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀ-
θηναίοις, ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας, ὅ,τι ποιοῦσιν,
ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι. Καὶ οὐ πρότερον ἐξεβίβα-
σεν ἐκ τῶν νεῶν, πρὶν αὗται ἧκον. Ταῦτα δ' ἐποίει τέττα-
25 ρας ἡμέρας· [καὶ οἱ Ἀθηναῖοι ἐπανήγοντο]. Ἀλκιβιάδης
δὲ κατιδὼν ἐκ τῶν τειχῶν τοὺς μὲν Ἀθηναίους ἐν αἰγιαλῷ
ὁρμοῦντας καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ δ' ἐπιτήδεια ἐκ
Σηστοῦ μετιόντας πεντεκαίδεκα σταδίους ἀπὸ τῶν νεῶν,
τοὺς δὲ πολεμίους ἐν λιμένι καὶ πρὸς πόλει ἔχοντας πάντα,
οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι εἰς Ση-
στὸν παρῄνει [πρός τε λιμένα καὶ πρὸς πόλιν]· οὗ ὄντες
26 ναυμαχήσετε, ἔφη, ὅταν βούλησθε. Οἱ δὲ στρατηγοί, μά-
λιστα δὲ Τυδεὺς καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν·
αὐτοὶ γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. Καὶ ὁ μὲν ᾤχετο.

---

Λυσ. 10), δηλ. εἰς μίαν σειρὰν κατὰ μέτωπον.—*τῆς ἡμέρας ὀψέ*] ὑποκμ. τοῦ ἦν.

§ 24. *ἐκβῶσιν*] οἱ Ἀθ.—*κατιδόντας*] τοὺς ἐν ταῖς ταχίσταις τῶν νεῶν (ὑποκ. τοῦ ἀποπλεῖν καὶ ἐξαγγεῖλαι) κατὰ σύνεσιν ἐκ τοῦ ἀνωτέρω νεῶν. —*ὅ,τι ποιοῦσιν*] τί ποιοῦσιν οἱ Ἀθ. πλαγία ἐρώτησις.—*ἐξεβίβασεν*] ἐνν. τοὺς στρατιώτας.—*οἱ Ἀθ. ἐπανήγοντο*] καὶ κατὰ τὰς τέσσαρας ἡμέρας.

§ 25. *ἐκ τῶν τειχῶν*] ἐκ τοῦ φρουρίου, τοῦ πύργου του. ἴδε 1, 5, 17.
—*ἐν αἰγιαλῷ*] κατὰ Πλούτρχ. «ἐν αἰγιαλοῖς δυσόρμοις καὶ ἀναπεπταμέ-
νοις» δηλ. εἰς παραλίαν χωρὶς λιμένα. Τὸ ἀντίθετον αὐτοῦ εἶναι τὸ κα-
τωτέρω *ἐν λιμένι* —*ὁρμοῦντας*] ὁρμέω-ῶ (ἐκ τοῦ ὅρμος) εἶμαι ἀραγμέ-
νος.—*πρὸς οὐδεμιᾷ πόλει*] ἡ πρὸς σημ. πλησίον. —*μετιόντας*] μετέρχομαι·
πορευομένους εἰς Σηστὸν καὶ κομίζοντας ἐξ αὐτῆς τὰ ἐπιτήδεια.—*μεθορ-
μίσαι*] νὰ φύγωσιν ἀπ' ἐκεῖ καὶ νὰ ὑπάγωσιν εἰς Σηστὸν ν' ἀράξωσιν· ἡ
μετὰ σημ. ἀλλαγήν.—*οὗ*]=ὅπου.—*ναυμαχήσετε κτλ.*] ὁ λόγος ἐτράπη
ἐκ πλαγίου εἰς εὐθύν.

§ 26. *αὐτοὶ γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον*] ἐνν. κατὰ ζεῦγμα ἔφα-
σαν ἐκ τοῦ ἐκέλευσαν. Αὐτοὶ (ταὐτοπροσωπ.) ἐκεῖνον (ἑτεροπροσωπ.)

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Λύσανδρος δ' ἐπεὶ ἦν ἡμέρα πέμπτη ἐπιπλέουσι τοῖς Ἀ- 27
θηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ ἑπομένοις, ἐπὰν κατίδωσιν
αὐτοὺς ἐκβεβηκότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χεῤῥό-
νησον, ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν
τά τε σιτία πόῤῥωθεν ὠνούμενοι καὶ καταφρονοῦντες δὴ
τοῦ Λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν, ἀποπλέοντας τοὔμπαλιν
παρ' αὐτὸν ἆραι ἀσπίδα κατὰ μέσον τὸν πλοῦν. Οἱ δὲ ταῦτα 28
ἐποίησαν ὡς ἐκέλευσε. Λύσανδρος δ' εὐθὺς ἐσήμηνε τὴν
ταχίστην πλεῖν· συμπαρῄει δὲ καὶ Θώραξ τὸ πεζὸν ἔχων.
Κόνων δὲ ἰδὼν τὸν ἐπίπλουν ἐσήμηνεν εἰς τὰς ναῦς βοη-
θεῖν κατὰ κράτος. Διεσκεδασμένων δὲ τῶν ἀνθρώπων αἱ
μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παν-
τελῶς κεναί· ἡ δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλή-
ρεις ἀνήχθησαν ἁθρόαι καὶ ἡ Πάραλος, τὰς δ' ἄλλας
πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. Τοὺς δὲ πλείστους

---

ὑποκ. τοῦ στρατηγεῖν.—*οὐκ ἐκεῖνον*] ἀσυνδέτως πρὸς τὸ ἡγούμενον, ἀντὶ
τοῦ *καὶ οὐκ ἐκ.* ἢ *ἀλλ' οὐκ ἐκ.* - *ὁ μὲν*] ὁ Ἀλκιβ.

§ 27. *ἐπιπλέουσι*] μετοχ. ἡ σύνταξις εἶναι· ἐπεὶ ἡμέρα πέμπτη ἦν τοῖς
Ἀθ. ἐπιπλέουσι.—*τοῖς . . . ἑπομένοις*] εἰς ἐκείνους, τοὺς ὁποίους ἔστειλεν
αὐτὸς νὰ παρακολουθῶσι τοὺς Ἀθ. ὡς κατάσκοποι.—*αὐτούς*] τοὺς Ἀθ.
—*κατὰ τὴν Χερ.*] ἡ κατὰ σημ. ἔκτασιν τοπικήν.—*ὅπερ*] δηλ. ἐκβαίνειν
καὶ σκεδάννυσθαι.—*πόῤῥωθεν*] ἐκ Σηστοῦ.—*καταφρονοῦντες δὴ*] τὸ δὴ=
ἤδη χρονικόν.—*ὅτι*] διότι.—*ἀποπλέοντας*] τοὺς παρ' αὐτοῦ ἑπομένους·
κατ' αἰτ. ὡς ὑποκ. τοῦ ἆραι.—*τοὔμπαλιν*]=τὸ ἔμπαλιν, ὀπίσω.—*κατὰ
μέσον τὸν πλοῦν*] κατὰ τὸ μέσον τοῦ πλοῦ.

§ 28. *τὴν ταχίστην*] τάχιστα.—*συμπαρῄει*] παραλλήλως συνεπορεύετο.
—*τὸν ἐπίπλουν*] τῶν Λακεδαιμονίων.—*κατὰ κράτος*] μὲ ὅλας τὰς δυνά-
μεις.—*εἰς τὰς ναῦς βοηθεῖν*] νὰ τρέξωσιν εἰς τὰ πλοῖα πρὸς ἄμυναν.—*δί-
κροτοι . . . μονόκροτοι*] ἐπειδὴ οἱ Ἀθ. ἦσαν διεσκορπισμένοι, ὅταν οἱ
Λακ. τοὺς προσέβαλον ὀλίγοι ἐπρόφθασαν νὰ ἔλθωσιν εἰς τὰ πλοῖα καὶ διὰ
τοῦτο ταῦτα εὑρέθησαν ἄλλα μὲν μὲ *δύο μόνον σειρὰς κωπῶν*, ἄλλα δὲ μὲ
*μίαν* μόνον, καὶ ἄλλα ὅλως διόλου κενά.—*Πάραλος*] καὶ *Σαλαμινία* ἦσαν
αἱ δύο ἱεραὶ λεγόμεναι τριήρεις, τὰς ὁποίας μετεχειρίζοντο οἱ Ἀθ. πρὸς



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄνδρας ἐν τῇ γῇ συνέλεξεν· οἱ δὲ καὶ ἔφυγον εἰς τὰ τειχύ-
29 δρια. Κόνων δὲ ταῖς ἐννέα ναυσὶ φεύγων ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα τὴν Λαμψάκου ἄκραν ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυσάνδρου νεῶν ἱστία, καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν εἰς Κύπρον, ἡ δὲ Πά-
30 ραλος εἰς τὰς Ἀθήνας ἀπαγγελοῦσα τὰ γεγονότα. Λύσανδρος δὲ τάς τε ναῦς καὶ τοὺς αἰχμαλώτους καὶ τἆλλα πάντα εἰς Λάμψακον ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. Ἧι δ' ἡμέρᾳ ταῦτα κατειργάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν εἰς Λακεδαίμονα ἀπαγγελοῦντα τὰ γεγονότα, ὃς ἀφι-
31 κόμενος τριταῖος ἀπήγγειλε. Μετὰ δὲ ταῦτα Λύσανδρος ἀθροίσας τοὺς συμμάχους ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. Ἐνταῦθα δὴ κατηγορίαι ἐγίγνοντο πολλαὶ τῶν Ἀθηναίων, ἅ τε ἤδη παρενενομήκεσαν καὶ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν τῶν ζωγρηθέντων πάντων, καὶ ὅτι

---

μεταφορὰν τῶν θεωριῶν, τῶν πρεσβειῶν καὶ τῶν διαταγῶν τῆς πόλεως.— *οἱ δέ*] ὀλίγοι δέ.—*εἰς τὰ τειχύδρια*] τὰ τείχη τῆς Σηστοῦ.

§ 29. *κατασχών*] πιάσας. ἀράξας.—*τὰ μεγάλα . . . ἱστία*] ἰδὲ 1, 1, 13.—*παρ' Εὐαγόραν*] τὸν ἡγεμόνα τῆς ἐν Κύπρῳ Σαλαμῖνος.—*ᾗ δ' ἡμέρᾳ*]=τῇ δ' ἡμέρᾳ, ᾗ, καθ' ἕλξιν.—*ἀπαγγελοῦσα*] τελ. μετχ. ἐκ τοῦ ἀπέπλευσε.

§ 30. *τὰς ναῦς*] αἵτινες ἦσαν 171· ἰδὲ § 20.—*αἰχμαλώτους*] 3000 ἢ 4000.—*τριταῖος*] τὴν τρίτην ἡμέραν.

§ 31. *ἐνταῦθα δή*] τότε λοιπόν.—*κατηγορίαι ἐγίγνοντο*]=κατηγοροῦντο παθητι. περίφρασις, ἡ δ' ἐνεργητ. εἶναι ἐποιοῦντο κατηγορίας· ἰδὲ 1, 1, 33.—*ἅ τε παρενενομήκεσαν*]=δι' ἅ τε παρενεν.—*εἰ κρατήσειαν*] ἡ ἀπόδοσις εἶναι ἐψηφισμένοι ἦσαν.—*τὴν δεξιὰν χεῖρα*] κατὰ Πλούτρχ. τὸν δεξιὸν ἀντίχειρα, ἵνα καταστήσωσι τούτους ἀχρήστους εἰς τὰ ναυτικά.—*ἀποκόπτειν*] ἐπεξήγησις τοῦ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν.—*καὶ ὅτι*] καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λαβόντες δύο τριήρεις, Κορινθίαν καὶ Ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν. Φιλοκλῆς δ' ἦν στρατηγὸς τῶν Ἀθηναίων, ὃς τούτους διέφθειρεν. Ἐ- 32
λέγετο δὲ καὶ ἄλλα πολλὰ καὶ ἔδοξεν ἀποκτεῖναι τῶν αἰχμαλώτων, ὅσοι ἦσαν Ἀθηναῖοι πλὴν Ἀδειμάντου ὅτι μόνος ἐπελάβετο ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσματος· ᾐτιάθη μέντοι ὑπό τινων προδοῦναι τὰς ναῦς. Λύσανδρος δὲ Φιλοκλέα πρῶτον ἐρωτήσας [ὃς τοὺς Ἀνδρίους καὶ Κορινθίους κατεκρήμνισε], τί εἴη ἄξιος παθεῖν ἀρξάμενος εἰς Ἕλληνας παρανομεῖν, ἀπέσφαξεν.

Κεφ. Β'. Ἐπεὶ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο, 1
ἔπλει ἐπὶ τὸ Βυζάντιον καὶ Καλχηδόνα. Οἱ δ' αὐτὸν ὑπεδέχοντο τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους

---

διότι· ὁ καὶ συνδέει τὸ ἅ τε παρενενομ. καὶ τὸ ὅτι λαβόντες κτλ. ἀμφότερα αἰτιολογικά. – *κατακρημνίσειαν*] οἱ Ἀθην., κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐκ τοῦ κατηγορίαι ἐγίγνοντο (ἱστορ. χρόνου).

§ 32. *ὅτι*] αἰτιολογικόν.—*ἐπελάβετο . . . τοῦ ψηφίσματος*] ἔψεξε τὸ ψήφισμα, ἠναντιώθη.—*ᾐτιάθη μέντοι*] ἐκατηγορήθη δ' ὅμως ὁ Ἀδείμαντος· ἄλλοι δηλ. ἔλεγον ὅτι ὁ Ἀδ. ἐσώθη διότι ἐπρόδωκε τὰ πλοῖα τῶν Ἀθ.—*ἐρωτήσας*] ὁ Πλούτρχ. ἀναφέρει (ἐν Λύσ. 13) τὴν γενναίαν ἀπόκρισιν τοῦ Φιλοκλέους «ὁ δὲ οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς ἐκέλευσε μὴ κατηγορεῖν ὧν οὐδείς ἐστι δικαστής, ἀλλὰ νικῶντα πράττειν ἅπερ ἂν νικηθεὶς ἔπασχεν».—*τί εἴη ἄξιος*] οὗτος, ὃς κατεκρήμνισε· κατ' εὐκτ. διότι τὸ ἐρωτήσας=ἠρώτησεν.—*ἀρξάμενος . . . παρανομεῖν*] ἐπειδὴ πρῶτος ἤρχισε νὰ παρανομῇ. Ἐνταῦθα ἥρμοζε μᾶλλον τὸ *ἄρξας*· διότι ἄρχω σημαίνει πρῶτος ἐγὼ πράττω τι, ὅπερ ἄλλοι ἐξακολουθοῦσιν, ἄρχομαι δὲ σημαίνει κάμνω ἀρχὴν τοῦ ἔργου μου. Ὅθεν «*Κῦρος ἦρχε τοῦ λόγου ὧδε*» (Ξνφ. Ἀν. 1, 6, 5) σημ. αὐτὸς πρῶτος ἔκαμεν ἀρχὴν νὰ ὁμιλήσῃ καὶ ἔπειτα οἱ ἄλλοι «*τοῦ λόγου ἤρχετο ὧδε*». (Ξνφ. Ἀν. 3, 2, 7) σημ. ἡ ἀρχὴ τοῦ λόγου του ἦν ἡ ἑξῆς.

Κεφ. Β'. § 1. *κατεστήσατο*] μέσον ὠφελείας=κατέστησε συμφέροντα τοῖς Λακ. καταστήσας δηλ. ὀλιγαρχίαν·—*οἱ δέ*] κατὰ σύνεσιν ἀναφέρεται

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ἀφέντες. Οἱ δὲ προδόντες Ἀλκιβιάδῃ τὸ Βυζάντιον τότε
μὲν ἔφυγον εἰς τὸν Πόντον, ὕστερον δ' εἰς Ἀθήνας καὶ
2 ἐγένοντο Ἀθηναῖοι. Λύσανδρος δὲ τούς τε φρουροὺς τῶν
Ἀθηναίων καί, εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον, ἀπέ-
πεμπεν εἰς τὰς Ἀθήνας διδοὺς ἐκεῖσε μόνον πλέουσιν
ἀσφάλειαν, ἄλλοθι δ' οὔ, εἰδώς, ὅτι ὅσῳ ἂν πλείους συλ-
λεγῶσιν εἰς τὸ ἄστυ καὶ τὸν Πειραιᾶ, θᾶττον τῶν ἐπιτη-
δείων ἔνδειαν ἔσεσθαι. Καταλιπὼν δὲ Βυζαντίου καὶ Καλ-
χηδόνος Σθενέλαον ἁρμοστὴν Λάκωνα αὐτὸς ἀποπλεύσας
εἰς Λάμψακον τὰς ναῦς ἐπεσκεύαζεν.*

*3 Ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης νυκτὸς
ἐλέγετο ἡ συμφορὰ καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν
μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγ-
γέλλων· ὥστ' ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη οὐ μό-
νον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ μᾶλλον ἔτι
αὐτοὶ ἑαυτοὺς πείσεσθαι νομίζοντες, οἷα ἐποίησαν Μηλί-*

---

εἰς τὸ *Βυζάντιον* καὶ *Καλχηδόνα*, δηλ. οἱ κάτοικοι αὐτῶν·—*οἱ προδόντες*] ἰδὲ 1, 3. 16.—*καὶ ἐγένοντο Ἀθηναῖοι*] ἔλαβον τὰ δικαιώματα τοῦ πολίτου Ἀθηναίου.

§ 2. *εἴ τινά που ἴδοι*] ὁσάκις ἔβλεπέ που· συντ. § 57, 3.—*ἐκεῖσε*. εἰς Ἀθήνας.—*πλέουσι*] μετοχ. ὑποθετ. διδοὺς αὐτοῖς πλέουσιν=εἰ πλέοιεν.—*ἄλλοθι δ' οὔ*] οὐ διδοὺς δὲ ἀσφάλειαν αὐτοῖς οὖσιν ἄλλοθι (ἐν ἄλλῳ τόπῳ).—*εἰδὼς ὅτι ... ἔνδειαν ἔσεσθαι*] ἐνταῦθα τὸ εἰδικὸν κῶλον ἐκφέρεται διὰ τοῦ ὅτι καὶ ἀπαρεμφ., ὅπερ γίνεται ἰδίως ὅταν μετὰ τὸ ὅτι ἢ ὡς τίθεται παρεμπίπτουσα ἄλλη πρότασις.—*ὅσῳ πλείους... θᾶττον*] παρελείφθη τὸ τοσούτῳ πρὸ τοῦ θᾶττον· ὅσῳ περισσότεροι . . . τόσῳ γρηγορώτερα.

§ 3. *ἡ συμφορά*] ἡ ἐν Αἰγὸς ποταμοῖς ἧττα τῶν Ἀθ.—*μακρὰ τείχη*] ἦσαν δύο τείχη μεγάλα ἀπὸ τοῦ Πειραιῶς μέχρι τῶν Ἀθηνῶν πρὸς ἀσφάλειαν τῆς συγκοινωνίας. καὶ τρίτον ἐξ Ἀθηνῶν εἰς τὸ Φάληρον —*ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων*] ὀνομ. ἀπόλυτος ἀντὶ γεν. κατὰ σχῆμα ἀνακόλουθον.—*πενθοῦντες*] κατὰ σύνεσιν, προσδιορίζει τὸ *οὐδεὶς ἐκοιμήθη*, ὅπερ=πάντες οὐκ. ἐκοιμ.—*πείσεσθαι*] μέλ. τοῦ πάσχω.—*οἷα ἐποίησαν Μηλίους*]=τοιαῦτα, οἷα· «ἀπέκτειναν Μηλίων ὅσους ἡβῶντας ἔλαβον,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ους τε Λακεδαιμονίων ἀποίκους ὄντας κρατήσαντες πολιορκίᾳ καὶ Ἱστιαιᾶς καὶ Σκιωναίους καὶ Τορωναίους κα Αἰγινήτας καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. Τῇ δ' ὑστε- 4
ραίᾳ ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι πλὴν ἑνὸς καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφιστάναι καὶ τἆλλα πάντα ὡς εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν. Καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.

Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσίαις 5
ἀφικόμενος εἰς Λέσβον κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ καὶ Μυτιλήνην· εἰς δὲ τὰ ἐπὶ Θρᾴκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. Εὐθὺς δὲ καὶ 6
ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ σφαγὰς τῶν γνωρίμων ποιήσαντες κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ μετὰ ταῦτα 7

---

παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν». Θουκδ. 5, 116.—*Ἱστιαιᾶς*] ἐξέβαλον ἐκ τῆς πόλεώς των, τὴν ὁποίαν κατέλαβον αὐτοί. ἰδὲ γραμμ. § 28, γ', σημ. 2.—*Σκιωναίους καὶ Τορωναίους*] ἐποίησαν οἱ Ἀθ. τὰ αὐτὰ καὶ τοὺς Μηλίους.—*Αἰγινήτας*] ἐδίωξαν ἐκ τῆς νήσου των· οἱ δὲ Λακεδ. ἔδωσαν εἰς αὐτοὺς τὴν Θυρέαν εἰς τὰ μεθόρια τῆς Ἀργείας καὶ Λακωνικῆς.

§ 4. *τῇ ὑστεραίᾳ*] ἡμέρᾳ.—*τοὺς λιμένας*] αἱ Ἀθῆναι εἶχον τὸν λιμένα τοῦ Φαλήρου, τῆς Μουνυχίας, τῆς Ζέας, τοῦ Πειραιῶς καὶ τὸν πολεμικὸν τοῦ Κανθάρου.—*ἀποχῶσαι*] ἀποχώννυμι· νὰ φράξωσι τὸ στόμιον τῶν λιμένων διὰ χώματος, ἵνα μὴ εἰσέρχωνται τὰ ἐχθρικὰ πλοῖα.—*εὐτρεπίζειν*] ἐπισκευάζειν.—*φυλακὰς ἐφιστάναι*] καὶ νὰ διορίσωσι φυλακάς.—*περὶ ταῦτα ἦσαν*] εἰς ταῦτα ἠσχολοῦντο.

§ 5. *κατεσκευάσατο*] δηλ. ἀφῆκεν ἁρμοστὴν καὶ μετέβαλε τὸ πολίτευμα εἰς ὀλιγαρχίαν.—*ἔπεμψε*]=ἔπεμψεν Ἐτεόνικον ἔχοντα δέκα τριήρεις.—*τὰ ἐκεῖ*] τὰ ἐπὶ Θρᾴκης χωρία.—*μετέστησε*] ὑπήγαγεν ὑπὸ τοὺς Λακ. ἢ μετὰ σημ. μεταβολήν.

§ 6. *μετὰ τὴν ναυμαχίαν*] τὴν ἐν Αἰγὸς ποταμοῖς.—*τῶν γνωρίμων*] τῶν ἀριστοκρατικῶν.—*σφαγὰς . . . ποιήσαντες*]=σφάξαντες.

§ 7. *ἔπεμψεν . . . ὅτι προσπλεῖ*]=ἔπεμψεν ἀγγελίαν ὅτι κτλ.—*πλὴν*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔπεμψε πρὸς Ἆγίν τε εἰς Δεκέλειαν καὶ εἰς Λακεδαίμονα, ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί. Λακεδαιμόνιοι δ' ἐξῆσαν πανδημεὶ καὶ οἱ ἄλλοι Πελοποννήσιοι πλὴν Ἀργείων παραγγείλαντος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου. Ἐπεὶ δ' ἅπαντες ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς πρὸς τὴν πόλιν ἐστρατοπέδευσεν ἐν τῇ Ἀκαδη-
9 μείᾳ. Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις, ὅσους ἐδύνατο πλείστους αὐτῶν ἀθροίσας, ὡς δ' αὔτως καὶ Μηλίοις καὶ τοῖς ἄλλοις, ὅσοι τῆς αὐτῶν ἐστέροντο. Μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατὸν καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.

10 Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν ἠπόρουν, τί χρὴ ποιεῖν, οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων οὔτε σίτου· ἐνόμιζον δὲ οὐδεμίαν εἶναι σωτηρίαν [εἰ] μὴ παθεῖν, ἃ οὐ τιμωρούμενοι ἐποίησαν, ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικροπολίτας οὐδ'
11 ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ ἢ ὅτι ἐκείνοις συνεμάχουν. Διὰ ταῦτα

---

*Ἀργείων*] διότι εἶχον κάμη σπονδὰς ἑκατονταετεῖς πρὸς τοὺς Ἀθην. τῷ 420 π. Χ.—*τοῦ ἑτέρου βασιλέως*] διότι δύο εἶχον βασιλεῖς οἱ Λακεδαιμόνιοι.—*Ἀκαδήμεια*] γυμνάσιον ἐκτὸς τῶν Ἀθηνῶν πρὸς βορρᾶν, περίφημος, διότι ἐν αὐτῇ ἐδίδασκεν ὁ Πλάτων καὶ ἡ σχολὴ αὐτοῦ ὠνομάσθη ἐξ αὐτῆς Ἀκαδημειακή.

§ 9. *ὅσους . . . πλείστους*] τὸ ὅσους ἐδύνατο ἐπιτείνει τὴν σημασίαν τοῦ ὑπερθ. πλείστους.—*ὡς δ' αὔτως*]=ὡσαύτως δέ.—*τῆς αὐτῶν*] ἐνν. χώρας.—*ὅσοι . . . ἐστέροντο*) ὅσοι εἶχον διωχθῇ καὶ ἐστεροῦντο· ἰδὲ § 3.—*τὰ πλοῖα*] τὰ σιταγωγά. ἰδὲ 1, 1, 35.

§ 10. *ἃ*] ἀντικ. τοῦ ἐποίησαν καὶ τοῦ ἠδίκουν.—*τιμωρούμενοι*] ἐκδικούμενοι δι' ἀδικίαν, ἣν ἔπαθον.—*ὕβρις*] παράβασις τοῦ δικαίου, κατάχρησις τῆς δυνάμεως—*ἠδίκουν*] ὁ παρατ. ἔχει σημ. ὑπερσυντελ.—*μικροπολίτας*] μικρῶν πόλεων, ἑπομένως ἀδυνάτους.—*οὐδ' ἐπὶ μιᾷ*] καὶ ἐπ' οὐδεμιᾷ· ἡ ἐπὶ σημ. αἰτίαν.—*ἐκείνοις*] τοῖς Λακεδαιμονίοις.

§ 11. *τοὺς ἀτίμους*] τοὺς στερηθέντας τὰ πολιτικὰ δικαιώματα ἕνεκα ἐγ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες ἐκαρτέρουν καὶ ἀπο-
θνησκόντων ἐν τῇ πόλει λιμῷ πολλῶν οὐ διελέγοντο περὶ
διαλλαγῆς. Ἐπεὶ δὲ παντελῶς ἤδη ὁ σῖτος ἐπελελοίπει,
ἔπεμψαν πρέσβεις παρ' Ἆγιν βουλόμενοι σύμμαχοι εἶναι
Λακεδαιμονίοις ἔχοντες τὰ τείχη καὶ τὸν Πειραιᾶ καὶ ἐπὶ
τούτοις συνθήκας ποιεῖσθαι. Ὁ δὲ αὐτοὺς εἰς Λακεδαί- 12
μονα ἐκέλευεν ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. Ἐπεὶ
δ' ἀπήγγειλαν οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμ-
ψαν αὐτοὺς εἰς Λακεδαίμονα. Οἱ δ' ἐπεὶ ἦσαν ἐν Σελλα- 13
σίᾳ [πλησίον τῆς Λακωνικῆς] καὶ ἐπύθοντο οἱ ἔφοροι
αὐτῶν, ἃ ἔλεγον ὄντα, οἷάπερ καὶ πρὸς Ἆγιν, αὐτόθεν
αὐτοὺς ἐκέλευον ἀπιέναι καί, εἴ τι δέονται εἰρήνης, κάλ-
λιον ἥκειν βουλευσαμένους. Οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴ- 14
καδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέπεσε
πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι καί, ἕως ἂν πέμ-
πωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ ἀπολεῖσθαι.
Περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐδεὶς ἐβούλετο 15

---

κλήματος· ἀντίθετον εἶναι τὸ *ἐπίτιμος*=ὁ ἀποκατασταθεὶς εἰς τὰ πολιτικὰ δικαιώματα.—*καὶ ἀποθνησκόντων*]=εἰ καὶ ἀπέθνησκον. - *σύμμαχοι εἶναι*] δηλ. ἀναγνωρίζοντες τὴν ἡγεμονίαν τῆς **Σπάρτης**.—*ἔχοντες*] ἐπὶ τῇ συμφωνίᾳ νὰ διαφυλάξωσιν. - *ἐπὶ τούτοις*] μὲ τοὺς ὅρους τούτους, δηλ. νὰ ἔχωσι τὰ τείχη καὶ τὸν Πειραιᾶ καὶ νὰ εἶναι σύμμαχοι τῶν Λακεδ.

§ 12. *οὐ γὰρ εἶναι*] ἐνν. ἔφη, ἐκ τοῦ ἀνωτέρω ἐκέλευεν.

§ 13. *αὐτῶν ἃ ἔλεγον*] τοὺς λόγους αὐτῶν, τῶν Ἀθ. πρέσβεων.—*ὄντα οἷά περ καὶ πρὸς Ἆγιν*] ὅτι ἦσαν τοιαῦτα, οἷα καὶ πρὸς Ἆγιν εἶπον· δηλ. ἐπρότεινον τοὺς αὐτοὺς ὅρους.—*αὐτόθεν*] χρονικῶς=εὐθύς.

§ 14. *εἰς τὴν πόλιν*] εἰς τὴν βουλὴν καὶ τὸν δῆμον.—*ἀνδραποδισθήσεσθαι*] ὅτι θὰ πωληθῶσιν ὡς ἀνδράποδα, θὰ ὑποδουλωθῶσιν.—*τῷ λιμῷ ἀπολεῖσθαι*] ὅτι θὰ ἀπολεσθῶσιν, θὰ ἀποθάνωσιν ὑπὸ τῆς πείνης.

§ 15. *περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως*] περὶ δὲ τῆς καθαιρ. τῶν τειχῶν, ἣν ἐζήτουν οἱ Λακεδ.—*ἐφ' οἷς Λακεδαιμόνιοι κτλ.*] - κράτιστον εἶναι ποιεῖσθαι εἰρήνην, ἐφ' οἷς οἱ Λακεδ, κτλ.—*ἐφ' οἷς*]=ἐπὶ τούτοις, ἃ. δηλ. μὲ τοὺς ὅρους, τοὺς ὁποίους.—*προυκαλοῦντο*] προέτεινον οἱ Λακεδ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συμβουλεύειν· Ἀρχέστρατος γὰρ εἰπὼν ἐν τῇ βουλῇ κρά-
τιστον εἶναι, ἐφ᾿ οἷς Λακεδαιμόνιοι προυκαλοῦντο, εἰρή-
νην ποιεῖσθαι ἐδέθη· προυκαλοῦντο δὲ τῶν μακρῶν τει-
χῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου· ἐγένετο δὲ
16 ψήφισμα μὴ ἐξεῖναι περὶ τούτων συμβουλεύειν. Τοιούτων
δὲ ὄντων Θηραμένης εἶπεν ἐν ἐκκλησίᾳ, ὅτι εἰ βούλονται
αὐτὸν πέμψαι παρὰ Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμο-
νίους, πότερον ἐξανδραποδίσασθαι τὴν πόλιν βουλόμενοι
ἀντέχουσι περὶ τῶν τειχῶν ἢ πίστεως ἕνεκα. Πεμφθεὶς δὲ
διέτριβε παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλέον ἐπιτη-
ρῶν, ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν
σῖτον ἅπαντα, ὅ, τι τις λέγοι, ὁμολογήσειν. Ἐπεὶ δ᾿ ἧκε
17 τετάρτῳ μηνί, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ, ὅτι αὐτὸν Λύσαν-
δρος τέως μὲν κατέχοι, εἶτα κελεύοι εἰς Λακεδαίμονα
ἰέναι· οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ᾿ αὐτοῦ, ἀλλὰ
τοὺς ἐφόρους. Μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς εἰς Λακεδαί-

---

*—ἐδέθη*] ἐρρίφθη εἰς τὸ δεσμωτήριον.—*τῶν μακρῶν τειχῶν*] γεν. διαιρετ. ἐκ τοῦ ἑκατέρου.—*ἐπὶ δέκα σταδίους*] ἀντικειμ. τοῦ καθελεῖν, ἔκτασιν δέκα σταδίων.—*καθελεῖν*] ἀόρ. ἀπαρεμφ. τοῦ καθαιρῶ, νὰ κρημνίσωσιν.—*ἑκατέρου*] γεν. διαιρετ. τοῦ ἐπὶ δέκα σταδίους.

§ 16. *τοιούτων δὲ ὄντων*] τῶν πραγμάτων.—*εἰδὼς ἥξει κτλ.*]=ἥξει εἰδώς, πότερον Λακεδαιμόνιοι ἀντέχουσι περὶ τῶν τειχῶν βουλόμενοι ἐξανδραποδίσασθαι τὴν πόλιν ἢ ἕνεκα πίστεως.—*Λακεδαιμονίους*] σχῆμα προλήψεως· ἰδὲ 1, 4, 18.—*πότερον βουλόμενοι . . . ἢ πίστεως ἕνεκα*] σύνθετος πλαγία ἐρώτησις.—*ἀντέχουσι περὶ τῶν τειχῶν*] ἐπιμένουσι περὶ τῆς καθαιρέσεως τῶν τειχῶν.—*πίστεως ἕνεκα*] ἕνεκα ἀσφαλείας.—*ἐπιτηρῶν, ὁπότε*] περιμένων πότε.—*ὁπότε ἔμελλον . . . ὁμολογήσειν*] πλαγία ἐρώτησις.—*ὅ,τι τις λέγοι*] ἐκ τοῦ ἔμελλον ὁμολογήσειν· ἔμελλον νὰ παραδεχθῶσι πάντα ὅρον, ὃν ἤθελέ τις προτείνῃ.

§ 17. *κατέχοι . . . κελεύοι*]=κατεῖχεν . . . ἐκέλευεν.—*εἶτα*] τίθεται συνήθως ἄνευ τοῦ δέ, ὡς καὶ τὸ ἔπειτα.—*οὐ γάρ εἶναι κύριος . . . ἀλλὰ τοὺς ἐφόρους*] ἐνν. αὐτός. ἰδὲ 2, 1, 26.—*ὧν ἐρωτῷτο ὑπ᾿ αὐτοῦ*] τοῦ Θηραμένους.—*ὧν*]=τούτων, ἃ.—*ἐρωτῷτο*] ἠρωτᾶτο.—*εἰς Λακεδαίμονα*] ἐνν. ἰέναι.—*αὐτοκράτωρ*] αὐτεξούσιος, μὲ ἀπόλυτον ἐξουσίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μονα αὐτοκράτωρ δέκατος αὐτός. Λύσανδρος δὲ τοῖς ἐφό- 18
ροις ἔπεμψεν ἀγγελοῦντα μετ᾽ ἄλλων Λακεδαιμονίων
Ἀριστοτέλην φυγάδα Ἀθηναῖον ὄντα, ὅτι ἀποκρίναιτο
Θηραμένει ἐκείνους κυρίους εἶναι εἰρήνης καὶ πολέμου.
Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ,
...ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ ἥκοιεν εἶπον, ὅτι αὐτο-
κράτορες περὶ εἰρήνης· μετὰ ταῦτα οἱ ἔφοροι καλεῖν ἐκέ-
λευον αὐτούς· ἐπεὶ δ᾽ ἧκον, ἐκκλησίαν ἐποίησαν, ἐν ᾗ
ἀντέλεγον Κορίνθιοι καὶ Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ
ἄλλοι τῶν Ἑλλήνων μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ᾽
ἐξαιρεῖν. Λακεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα 20
ἀνδραποδιεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις
κινδύνοις γενομένοις τῇ Ἑλλάδι, ἀλλ᾽ ἐποιοῦντο εἰρήνην,
ἐφ᾽ ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας
καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγάδας
καθέντας τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακε-
δαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν,

---

§ 18. *Ἀριστοτέλη*] ὅστις ὕστερον ἐγένετο τῶν 30.—*ὅτι ἀποκρίναιτο*] ἐκ τοῦ ἔπεμψεν ἀγγελοῦντα, ἱστορικοῦ.—*ἐκείνους*] τοὺς ἐφόρους.

§ 19. *ἐπὶ τίνι λόγῳ*] διὰ ποῖον λόγον, μὲ ποίους δηλ. ὅρους.—*εἶπον ὅτι*] ἐνν. ἥκοιεν.—*καλεῖν . . . ἧκον*] καὶ εἰς τὰ δύο ἐνν. εἰς Σπάρτην.—*ἐξαιρεῖν*] ἐνν. τὰς Ἀθήνας ἐκ τοῦ ἀνωτέρω Ἀθηναίοις κατὰ σύνεσιν. Ἐξαιρεῖν=καθαιρεῖν, νὰ καταστρέψωσι τὰς Ἀθ. ἡ ἐξ σημ. τὸ ἐξ ὁλοκλήρου.

§ 20. *οὐκ ἔφασαν ἀνδραποδιεῖν*]=ἔφασαν οὐκ ἀνδραποδιεῖν.—*ἐν τοῖς μεγίστοις κινδύνοις*] ἐν καιρῷ τῶν Περσικῶν πολέμων.—*γενομένοις*]=τοῖς γενομ. τὸ ἄρθρον πολλάκις παραλείπεται, ὅταν ἡ ἐπιθετ. μετχ. τίθεται μετὰ τὸ οὐσ.—*ἐποιοῦντο*] βουλητικὸς παρατ.—*ἐφ᾽ ᾧ*] ἐπὶ τῷ ὅρῳ.—*καὶ τὸν Πειραιᾶ*] δηλ. τὸ περὶ τὸν Πειραιᾶ τεῖχος.—*καὶ τοὺς φυγάδας καθέντας*]=κατελθεῖν ἐφέντας· νὰ ἐπιτρέψωσιν οἱ Ἀθην. νὰ ἐπανέλθωσιν οἱ ἐξόριστοι. Τὸ ῥῆμα καθίημι.—*τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας*]=συμμαχίαν ποιησαμένους. Θουκ. 1, 44, 1.—*ἕπεσθαι*] ν᾽ ἀκολουθῶσι, δηλ. ν᾽ ἀναγνωρίσωσι τοὺς Λακεδ. ὡς ἡγεμόνας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

21 ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ πρέσβεις ἐπανέφερον ταῦτα εἰς τὰς Ἀθήνας. Εἰσιόντας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολὺς φοβούμενοι, μὴ ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ πλῆθος τῶν ἀπολλυμέ-
22 νων τῷ λιμῷ. Τῇ δ' ὑστεραίᾳ ἀπήγγελλον οἱ πρέσβεις, ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποιοῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης λέγων, ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη περιαιρεῖν. Ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ πλειόνων συνεπαινεσάντων ἔδοξε δέχεσθαι τὴν
23 εἰρήνην. Μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν Πειραιᾶ καὶ οἱ φυγάδες κατῇσαν καὶ τὰ τείχη κατέσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.

24 [Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ μεσοῦντι Διονύσιος ὁ Ἑρμοκράτους Συρακόσιος ἐτυράννησε, μάχῃ μὲν πρότερον ἡττηθέντων ὑπὸ Συρακοσίων Καρχηδονίων, σπάνει δὲ σίτου ἑλόντων Ἀκράγαντα ἐκλιπόντων τῶν Σικελιωτῶν τὴν πόλιν.]

---

§ 21. *περιεχεῖτο*] ἐχύνετο πέριξ αὐτῶν, τοὺς περιεκύκλωνε.—*φοβούμενοι*] κατὰ σύνεσιν εἰς τὸ περιληπτικὸν *ὄχλος*.—*ἄπρακτοι*]=μηδὲν πράξαντες.—*ἥκοιεν*] οἱ πρέσβεις.—*οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν*] διότι δὲν ἦτο δυνατὸν πλέον ν' ἀναβάλλωσιν, δὲν ἐχωροῦσε πλέον ἀναβολή, τὸ ἐνεχώρει ἀπρόσωπον.

§ 22. *ἐφ' οἷς*] ἐπὶ τίσιν ὅροις.—*προηγόρει*] ἔλαβε τὸν λόγον ἐν ὀνόματι ὅλων τῶν ἄλλων—*ἔδοξε*] τῇ ἐκκλησίᾳ τοῦ δήμου.

§ 23. *Λύσανδρος κατέπλει*] ἐκ Σάμου τῇ 16 Μουνιχιῶνος (Ἀπριλίου τοῦ 405 π. Χρ.).—*κατῇσαν*]=κατήρχοντο, ἐπέστρεφον ἐκ τῆς ἐξορίας.—*κατέσκαπτον*] οἱ Πελοποννήσιοι.—*ὑπ' αὐλητρίδων*] συνοδευόμενοι ὑπὸ αὐλητρίδων, δηλ. μὲ τὴν μουσικήν.—*ἄρχειν τῆς ἐλευθερίας*] ὅτι ἦτο ἀρχὴ τῆς ἐλευθερίας.

§ 24. *ἐν ᾧ μεσοῦντι*] ἐν τῷ μέσῳ τοῦ ὁποίου.—*ἐτυράννησε*] τύραννος ἐγένετο· συντ. § 37. 3, 2.—*Σικελιῶται*] εἶναι οἱ Ἕλληνες οἱ κατοικοῦντες ἐν Σικελίᾳ, *Σικελοὶ* δὲ οἱ ἐγχώριοι βάρβαροι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Κεφ. Γ΄.* Τῷ δ' ἐπιόντι ἔτει [ᾧ ἦν Ὀλυμπιάς, ᾗ τὸ 404
στάδιον ἐνίκα Κροκίνας Θετταλός, Ἐνδίου ἐν Σπάρτῃ π. Χ.
ἐφορεύοντος, Πυθοδώρου δ' ἐν Ἀθήναις ἄρχοντος, ὃν
Ἀθηναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν,
ἀλλ' ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν. Ἐγένετο δὲ αὕτη ἡ 2
ὀλιγαρχία ὧδε.] ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι,
οἳ [τοὺς πατρίους] νόμους συγγράψουσι, καθ' οὓς πολι-
τεύσουσι. Καὶ ᾑρέθησαν οἵδε, Πολυχάρης, Κριτίας, Μη-
λόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων, Μνησίλοχος,
Χρέμων, Θηραμένης, Ἀρεσίας, Διοκλῆς, Φαιδρίας, Χαι-
ρέλεως, Ἀναίτιος, Πείσων, Σοφοκλῆς, Ἐρατοσθένης,
Χαρικλῆς, Ὀνομακλῆς, Θέογνις, Αἰσχίνης, Θεογένης,
Κλεομήδης, Ἐρασίστρατος, Φείδων, Δρακοντίδης, Εὐ-
μάθης, Ἀριστοτέλης, Ἱππόμαχος, Μνησιθείδης. Τού- 3
των δὲ πραχθέντων ἀπέπλει Λύσανδρος πρὸς Σάμον, Ἆ-
γις δ' ἐκ τῆς Δεκελείας ἀπαγαγὼν τὸ πεζὸν στράτευμα δι-
έλυσε κατὰ πόλεις ἑκάστους.

Κατὰ δὲ τοῦτον τὸν καιρὸν περὶ ἡλίου ἔκλειψιν Λυ- 4
κόφρων ὁ Φεραῖος βουλόμενος ἄρξαι ὅλης τῆς Θετταλίας

---

Κεφ. Γ΄. § 1. *τῷ δ' ἐπιόντι ἔτει*] τὸ ἑπόμενον ἔτος, 404 π. Χ.—*ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη*] διότι ἐξελέχθη ἐν καιρῷ τῆς ὀλιγαρχίας τῶν τριάκοντα.—*οὐκ ὀνομάζουσι*] δὲν ἀναφέρουσιν αὐτὸν εἰς τὴν χρονολογίαν, ἤτοι δὲν ὀνομάζουσι τὸ ἔτος κατὰ τὸ ὄνομα αὐτοῦ, ὡς συνήθως.—*ἀναρχίαν τὸν ἐνιαυτόν*] ὅτι τὸ ἔτος δὲν εἶχεν ἄρχοντα.

§ 2. *τριάκοντα ἄνδρας*] δέκα ὁ Θηραμένης, δέκα οἱ ἔφοροι, καὶ δέκα ὁ λαός, ἤτοι ἡ ἐκκλησία. Ἰδὲ Λυσ. 12, 76. Οὗτοι εἶναι οἱ διαβόητοι τριάκοντα τύραννοι.—*οἳ . . . συγγράψουσι*]=ἵνα οὗτοι συγγράψωσι, οἵτινες νὰ συγγράψωσι· ἡ ἀναφορικὴ πρότασις ἔχει ἔννοιαν τελικήν· ἰδέ συντ. § 52. 2.—*καθ' οὓς πολιτεύσουσι*]=ἵνα κατὰ τούτους πολιτεύωσιν· ὁ μέλ. σημ. διαρκῆ πρᾶξιν.

§ 3. *ἐκ τῆς Δεκελείας*] ὅπου ἔμεινεν 9 1|2 ἔτη.—*κατὰ πόλεις ἑκάστους*] ἑκάστους τῶν συμμάχων εἰς τὰς πόλεις των· ἡ κατὰ σημ. διανομήν.

§ 4. *Λυκόφρων*] τύραννος τῶν Φερῶν, πόλεως Θεσσαλικῆς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς ἐναντιουμένους αὐτῷ τῶν Θετταλῶν, Λαρισαίους τε καὶ ἄλλους, μάχῃ ἐνίκησε καὶ πολλοὺς ἀπέκτεινεν.

5 [Ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ Διονύσιος ὁ Συρακόσιος τύραννος μάχῃ ἡττηθεὶς ὑπὸ Καρχηδονίων Γέλαν καὶ Καμάριναν ἀπώλεσε. Μετ' ὀλίγον δὲ καὶ Λεοντῖνοι Συρακοσίοις συνοικοῦντες ἀπέστησαν εἰς τὴν αὑτῶν πόλιν ἀπὸ Διονυσίου καὶ Συρακοσίων. Παραχρῆμα δὲ καὶ οἱ Συρακόσιοι ἱππεῖς ὑπὸ Διονυσίου εἰς Κατάνην ἀπεστάλησαν].

6 Οἱ δὲ Σάμιοι πολιορκούμενοι ὑπὸ Λυσάνδρου πάντῃ, ἐπεὶ οὐ βουλομένων αὐτῶν τὸ πρῶτον ὁμολογεῖν προσβάλλειν ἤδη ἔμελλεν ὁ Λύσανδρος, ὡμολόγησαν ἓν ἱμάτιον ἔχων ἕκαστος ἀπιέναι τῶν ἐλευθέρων, τὰ δ' ἄλλα παρα-
7 δοῦναι· καὶ οὕτως ἐξῆλθον. Λύσανδρος δὲ τοῖς ἀρχαίοις πολίταις παραδοὺς τὴν πόλιν καὶ τὰ ἐνόντα πάντα καὶ δέκα ἄρχοντας καταστήσας [φρουρεῖν] ἀφῆκε τὸ τῶν συμ-
8 μάχων ναυτικὸν κατὰ πόλεις, ταῖς δὲ Λακωνικαῖς ναυσὶν ἀπέπλευσεν εἰς Λακεδαίμονα ἀπάγων τά τε τῶν αἰχμαλώτων νεῶν ἀκρωτήρια καὶ τὰς ἐκ Πειραιῶς τριήρεις [πλὴν δώδεκα] καὶ στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα ἰδίᾳ, καὶ ἀργυρίου τετρακόσια καὶ ἑβδομήκοντα τάλαντα, ἃ περιεγένοντο τῶν φόρων, οὓς αὐτῷ Κῦρος πα-

§ 5. *Λεοντῖνοι*] οἱ κάτοικοι τῶν Λεοντίνων, πόλεως τῆς Σικελίας.—*ἀπέστησαν εἰς τὴν . . . πόλιν*] κατὰ βραχυλογίαν ἀντὶ ἀποστάντες ἀπῆλθον εἰς τὴν αὑτῶν πόλιν.—*εἰς Κατάνην ἀπεστάλησαν*] ἵνα καταλάβωσι τὴν Κατάνην τῆς Σικελίας.

§ 6. *ὡμολόγησαν κτλ.*] ἐσυνθηκολόγησαν.—*καὶ οὕτως*] καὶ ἀφοῦ ἔκαμαν ταῦτα.

§ 7. *τοῖς ἀρχαίοις πολ ταις*] τοῖς ἀριστοκρατικοῖς, οὓς ὁ δῆμος τῶν Σαμίων βοηθούμενος ὑπὸ τῶν Ἀθ. εἶχεν ἐκδιώξῃ τῷ 412 π. Χ.

§ 8. *τὰ ἀκρωτήρια*] τὰ ἄκρα τῆς πρῴρας καὶ τῆς πρύμνης (ἀκροστόλια, ἄφλαστα) τῶν πλοίων, τὰ ὁποῖα ἀφῄρουν ὡς σημεῖον τῆς νίκης. καὶ τοῦτο

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρέδειξεν εἰς τὸν πόλεμον, καὶ εἴ τι ἄλλο ἐκτήσατο ἐν τῷ
πολέμῳ. Ταῦτα δὲ πάντα Λακεδαιμονίοις ἀπέδωκε τελευ- 9
τῶντος τοῦ θέρους], εἰς ὃ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν
ἔτη τῷ πολέμῳ ἐτελεύτα, ἐν οἷς ἔφοροι οἱ ἀριθμούμενοι
οἵδε ἐγένοντο, Αἰνησίας πρῶτος, ἐφ' οὗ ἤρξατο ὁ πόλεμος πέμπτῳ καὶ δεκάτῳ ἔτει τῶν μετ' Εὐβοίας ἅλωσιν τριακονταετίδων σπονδῶν, μετὰ δὲ τοῦτον οἵδε, Βρασίδας, Ἰσάνωρ, Σωστρατίδας, Ἔξαρχος, Ἀγησίστρατος, Ἀγγενίδας, Ὀνομακλῆς, Ζεύξιππος, Πιτύας, Πλειστόλας, Κλεινόμαχος, Ἴλαρχος, Λέων, Χαιρίλας, Πατησιάδας, Κλεοσθένης, Λυκάριος, Ἐπήρατος, Ὀνομάντιος, Ἀλεξιππίδας, Μισγολαΐδας, Ἰσίας, Ἄρακος, Εὐάρχιππος, Πανтακλῆς, Πιτύας, Ἀρχύτας, Ἔνδιος, ἐφ' οὗ Λύσανδρος πράξας τὰ εἰρημένα οἴκαδε κατέπλευσεν.]

Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν ἐπεὶ τάχιστα τὰ μακρὰ 11
τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ ἐφ' ᾧτε συγγράψαι νόμους, καθ' οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον συγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει
αὐτοῖς. Ἔπειτα πρῶτον μέν, οὓς πάντες ᾔδεσαν ἐν τῇ 12

---

ἐλέγετο ἀκρωτηριάζειν.—*ἃ περιεγένοντο*] ἐπερίσσευσαν. – *παρέδειξεν εἰς τὸν πόλεμον*] τοὺς ὁποίους ὁ Κῦρος ἔδειξεν εἰς αὐτὸν νὰ λαμβάνῃ διὰ τὸν πόλεμον.—*ἐν τῷ πολέμῳ*] ἐν καιρῷ τοῦ πολέμου.

§ 9. *ἑξάμηνος*] χρόνος.—*τριακονταετίδων σπονδῶν*] τῷ 446. π. Χρ. οἱ Ἀθ. ἡγουμένου Περικλέους κατέλαβον τὴν Εὔβοιαν καὶ τὸ ἐπιὸν ἔτος κατέπαυσαν τὸν πρὸς Σπαρτιάτας πόλεμον διὰ συνθήκης τριακονταετοῦς εἰρήνης.

§ 11. *ἐπεὶ τάχιστα*] εὐθὺς ἀφοῦ.—*ἐφ' ᾧτε συγγράψαι*]=οἳ συγγράψουσι, ἰδὲ 2, 3, 2.—*καθ' οὕστινας πολιτεύσοιντο*]=καθ' οὓς ἔμελλον πολιτεύεσθαι.—*ἔμελλον συγγράφειν*] τὰ μὲν οὖν περὶ τῆς νομοθεσίας ἀνεβάλοντο (Διόδωρ.). Τὸ μέλλω σημ. ἐνταῦθα ἀναβάλλω, βραδύνω.

§ 12. *ἐν τῇ δημοκρατίᾳ*] ἐν καιρῷ τῆς δημοκρατίας. – *ἀπὸ συκοφαντίας*]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας καὶ τοῖς καλοῖς κἀ-
γαθοῖς βαρεῖς ὄντας, συλλαμβάνοντες ὑπῆγον θανάτου·
καὶ ἥ τε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο οἵ τε ἄλλοι,
ὅσοι συνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι, οὐδὲν ἤχθοντο.
13 Ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι, ὅπως ἂν ἐξείη αὐτοῖς τῇ
πόλει χρῆσθαι, ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν
πέμψαντες εἰς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλην
ἔπεισαν Λύσανδρον φρουροὺς σφίσι συμπρᾶξαι ἐλθεῖν,
ἕως δὴ τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι καταστή-
14 σαιντο τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. Ὁ δὲ
πεισθεὶς τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν συνέ-
πραξεν αὐτοῖς πεμφθῆναι. Οἱ δ' ἐπεὶ τὴν φρουρὰν ἔλα-
βον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ, ὡς
πάντα ἐπαινοίη, ἃ πράττοιεν, τῶν δὲ φρουρῶν τούτου
συμπέμποντος αὐτοῖς, οὓς ἐβούλοντο συνελάμβανον οὐκέτι
τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ' ἤδη οὓς ἐνόμι-

συντ. § 25. 1, 2.—*τοῖς καλοῖς κἀγαθοῖς*] ἐνταῦθα ἐννοεῖ τοὺς ἀριστοκρατικούς.—*ὑπῆγον θανάτου*] ἐδίκαζον διὰ θάνατον· ἰδὲ 1, 3, 19.—*κατεψηφίζετο*] κατεδίκαζεν.—*συνῄδεσαν ἑαυτοῖς μὴ ὄντες τοιοῦτοι*] εἶχον συνείδησιν ἑαυτῶν (ἐγνώριζον ἑαυτούς), ὅτι δὲν ἦσαν τοιοῦτοι.

§ 13. *ὅπως ἂν ἐξείη*] πλαγία ἐρώτησις.—*ὅπως βούλοιντο*] κατ' εὐκτ. ἕνεκα ἕλξεως τῆς προηγουμένης εὐκτ. ἐξείη.—*ἐκ τούτου*] μετὰ τοῦτο.—*Αἰσχίνην τε καὶ Ἀριστοτέλη*] δύο τῶν 30.—*σφίσι*] τοῖς 30, ἐκ τοῦ ἐλθεῖν·—*ἐλθεῖν*] συνήθως μετὰ τὸ *συμπράττειν* τίθεται τὸ ὥστε μετ' ἀπαρφ.—*δή*]=δῆθεν, εἰρωνικῶς.—*τοὺς πονηρούς*] τοὺς δημοκρατικούς· τὸ δ' ἀντίθετον *καλοὶ κἀγαθοί*.—*ἐκποδὼν ποιησάμενοι*] ἀφοῦ τοὺς ἐκβάλωσιν ἐκ τοῦ μέσου. τοὺς ἀφανίσωσιν.—*καταστήσαιντο*] κατὰ Διόδρ. 14, 4 «*καταστήσουσιν*] ἐκείνοις *συμφέρουσαν*»· μέσον ὠφελείας.—*αὐτοί*] ὑποκ. τοῦ θρέψειν.

§ 14. *ὡς ἐπαινοίη*] ἵνα ἐπιδοκιμάζῃ· τελικὴ πρότασις κατ' εὐκτικὴν ὡς ἐξ ἱστορικοῦ χρόνου.—*ἃ πράττοιεν*]=ἃ ἔπραττον.—*τῶν φρουρῶν*] γεν. διαιρ. ἐκ τοῦ ἐννοουμένου *τινάς*.—*οὓς ἐβούλοντο*] ἀντικ. τοῦ ξυνελάμβανον, τὸ δὲ *πονηρούς τε καὶ . . . ἀξίους* εἶναι ἐπεξήγησις.—*ἥκιστα*] εἰς τὸ ἀνέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*ζον ἥκιστα μὲν παρωθουμένους ἀνέχεσθαι, ἀντιπράττειν*
*δέ τι ἐπιχειροῦντας πλείστους ἂν τοὺς συνεθέλοντας λαμ-*
*βάνειν. Τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηρα-* 15
*μένει ὁμογνώμων τε καὶ φίλος ἦν· ἐπεὶ δὲ αὐτὸς μὲν προ-*
*πετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτείνειν ἅτε καὶ φυγὼν ὑπὸ*
*τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε λέγων, ὅτι οὐκ εἰ-*
*κὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ*
*καλοὺς κἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο, ἐπεὶ καὶ ἐγώ,*
*ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ*
*εἴπομεν καὶ ἐπράξαμεν· ὁ δέ, (ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ* 16
*Θηραμένει) ἀντέλεγεν, ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν*
*βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτά-*
*τους διακωλύειν· εἰ δέ, ὅτι τριάκοντά ἐσμεν καὶ οὐχ εἷς,*
*ἧττόν τι οἴει [ἢ] ὥσπερ τυραννίδος ταύτης τῆς ἀρχῆς*

---

χεσθαι —*παρωθουμένους*]=εἰ παρωθοῖντο (ἐὰν ἤθελον παραγκωνισθῇ) ἥκιστ' ἂν ἀνέχοιντο. Ἐνταῦθα πρέπει νὰ ἐννοήσωμεν δὶς τὴν μετχ. παρωθουμένους, ὡς ὑποθ. καὶ ὡς κατηγορηματικὴν ἐκ τοῦ ἀνέχεσθαι· συντ. § 45, 6', 4.—*ἀντιπράττειν τι*] τὸ τι σύστοιχον ἀντικ.=ἀντίπραξίν τινα.—*ἐπιχειροῦντας . . . λαμβάνειν*]=εἰ δ' ἐπιχειροῖεν . . . λαμβάνοιεν ἂν πλείστους.—*τοὺς συνεθέλοντας*]=τοὺς ἐθέλοντας σὺν αὐτοῖς· ἀντιπράττειν.

§ 15. *ὁμογνώμων*] σύμφωνος.—*ἐπεὶ δ' αὐτὸς μὲν . . . ὁ δὲ Θηρ.*] ἀνακόλουθον σχῆμα, διότι ἡ κυρία πρότασις λείπει, καὶ ὁ λόγος ἐξακολουθεῖ διὰ τοῦ ἐπεὶ δὲ § 17.—*προπετής*] ἐπιρρεπής, πρόθυμος.—*ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου*] διότι καὶ ἐξωρίσθη ὑπὸ τῶν δημοκρατικῶν. διότι ἦτο ἐκ τῶν 400, δηλ. ὀλιγαρχικός.—*ἀντέκοπτε*] μεταφορικῶς, ἀντέκρουε, ἠναντιοῦτο.—*εἴ τις*]=πάντα ὅστις,—*καλοὺς κἀγαθούς*] ἀριστοκρατικούς.—*ἐπεὶ καὶ ἐγὼ ἔφη*] ὁ λόγος τρέπεται εἰς εὐθύν.

§ 16. *ὁ δέ*] Κριτίας.—*ὅτι οὐκ ἐγχωροίη*]=οὐκ ἐξείη· δὲν ἦτο ἐπιτετραμμένον.—*πλεονεκτεῖν*]=πλέον ἔχειν, ὑπερέχειν.—*εἰ δὲ κτλ.*] τρέπεται πάλιν ὁ λόγος εἰς εὐθύν,—*ὅτι*]=διότι.—*ἧττόν τι*] *τοῦ ἑνός*· ὀλιγώτερον παρὰ ἂν ἤμεθα εἷς.—*ὥσπερ τυραννίδος*] ὡς νὰ ἦτο τυραννίς, ἀρχὴ τυράννου.—*εὐήθης*] μωρός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

17 χρῆναι ἐπιμελεῖσθαι. εὐήθης εἶ. Ἐπεὶ δὲ ἀποθνησκόντων
πολλῶν καὶ ἀδίκως πολλοὶ δῆλοι ἦσαν συνιστάμενοί τε καὶ
θαυμάζοντες, τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θηρα-
μένης, ὅτι εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν πρα-
18 γμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμένειν. Ἐκ
τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι τριάκοντα ἤδη φοβού-
μενοι καὶ οὐχ ἥκιστα τὸν Θηραμένην μὴ συρρυείησαν
πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι τρισχιλίους τοὺς με-
19 θέξοντας δὴ τῶν πραγμάτων. Ὁ δ᾽ αὖ Θηραμένης καὶ
πρὸς ταῦτα ἔλεγεν, ὅτι ἄτοπον δοκοίη ἑαυτῷ γε εἶναι τὸ
πρῶτον μὲν βουλομένους τοὺς βελτίστους τῶν πολιτῶν κοι-
νωνοὺς ποιήσασθαι τρισχιλίους [καταλέξαι], ὥσπερ τὸν
ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγκην καλοὺς καὶ ἀγαθοὺς
εἶναι καὶ οὔτ᾽ ἔξω τούτων σπουδαίους οὔτ᾽ ἐντὸς τούτων
πονηροὺς οἷόν τε εἴη γενέσθαι· ἔπειτα δ᾽, ἔφη, ὁρῶ ἔγωγε

---

§ 17. *τί ἔσοιτο*] ἀντὶ ὅ,τι ἔσοιτο, πλαγία ἐρώτησις ἐκ τοῦ θαυμάζοντες,
ἀπορουντες.— *τῶν πραγμάτων*] τῆς πολιτείας.—*διαμένειν*] νὰ μένῃ διαρ-
κῶς, νὰ διατηρηθῇ ἡ ὀλιγαρχία.

§ 18. *καὶ οἱ ἄλλοι τριάκοντα*] τὸ τριάκοντα ἐνταῦθα λαμβάνεται ὡς
ὄνομα ἀρχῆς καὶ δὲν σημ. τὸν ἀριθμόν.—*καὶ οὐχ ἥκιστα*]=καὶ μάλιστα·
σχῆμα λιτότητος.—*μὴ συρρυείησαν*] πλαγία ἐρώτησις ἐκ τοῦ φοβούμενοι·
—*καταλέγουσι*] ἱστορικὸς ἐνεστ. κατέγραψαν ἐν καταλόγῳ· διὸ οἱ 300 οὗ-
τοι λέγονται συνήθως *οἱ ἐν τῷ καταλόγῳ*, οἱ δ᾽ ἄλλοι Ἀθ. *οἱ ἔξω τοῦ*
*καταλόγου*.—*τοὺς μεθέξοντας*]=οἳ μεθέξουσι, ἵνα μετέχωσιν. Οὗτοι λοι-
πὸν ἀπετέλουν τὴν ἐκκλησίαν.—*δή*]=δῆθεν.

§ 19 *ἄτοπον . . . τρισχιλίους*] κατὰ βραχυλογίαν ἀντὶ τοῦ: ἄτοπον
δοκοίη ἑαυτῷ γε εἶναι πρῶτον μὲν βουλομένους τοὺς βελτίστους τῶν πο-
λιτῶν κοινωνοὺς ποιήσασθαι, εἶτα ποιήσασθαι τρισχιλίους. Ἡ δ᾽ ἔννοια·
ἄτοπον νομίζει αὐτὸς τοὐλάχιστον *ἐνῷ κατ᾽ ἀρχὰς μὲν* ἤθελον νὰ κάμωσι
μετόχους τῆς πολιτείας *πάντας* τοὺς καλοὺς πολίτας, ἔπειτα νὰ κάμωσι
μετόχους *μόνον* τρισχιλίους.—*ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντα*] αἰτ.
ἀπόλυτος.—*ὥσπερ . . . ἔχοντα*]=ὥσπερ εἰ . . ἔχοι, διὸ τὸ ἑπόμενον
κῶλον εἶναι κατ᾽ εὐκτ. *καὶ οὔτ᾽ . . . . οἷόν τε εἴη*, ἀντὶ οἷόν τε ὄν.—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δύο ἡμᾶς τὰ ἐναντιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν
καὶ ἥττονα τῶν ἀρχομένων κατασκευαζομένους. Ὁ μὲν
ταῦτ᾽ ἔλεγεν. Οἱ δ᾽ ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχι- 20
λίων ἐν τῇ ἀγορᾷ, τῶν δ᾽ ἔξω τοῦ καταλόγου ἄλλων ἀλ-
λαχοῦ, ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπε-
ληλύθεσαν, πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν
τοὺς ὁμογνώμονας αὐτοῖς τὰ ὅπλα πάντων πλὴν τῶν τρισ-
χιλίων παρείλοντο καὶ ἀνακομίσαντες ταῦτα εἰς τὴν ἀκρό-
πολιν συνέθηκαν ἐν τῷ ναῷ. Τούτων δὲ γενομένων ὡς 21
ἐξὸν ἤδη ποιεῖν αὐτοῖς, ὅ,τι βούλοιντο, πολλοὺς μὲν ἔχ-
θρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. Ἔδοξε δ᾽
αὐτοῖς, ὅπως ἔχοιεν καὶ τοῖς φρουροῖς χρήματα διδόναι,
καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν καὶ αὐτοὺς μὲν
ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν ἀποσημήνασθαι. Ἐκέ- 22
λευον δὲ καὶ τὸν Θηραμένην λαβεῖν, ὅντινα βούλοιτο, Ὁ

---

*ἔπειτα δ᾽, ἔφη, ὁρῶ*] πάλιν τρέπεται ὁ λόγος εἰς εὐθύν.—*ἥττονα*] ἀσθενεστέραν, ἐνῷ ἔπρεπε νὰ ἦναι κρείττων ὡς βιαία.—*κατασκευαζομένους*] ὅτι τείνομεν νά την κάμωμεν· ἐνεστ. *προσπαθείας*· ἡ μετχ. εἰδική

§ 20. *οἱ δέ*] οἱ 30.—*ἐξέτασιν ποιήσαντες*]=διατάξαντες νὰ γείνῃ ἐπιθεώρησις.—*τῶν δ᾽ ἔξω τοῦ καταλόγου*] πάντων τῶν ἄλλων τῶν ἐκτὸς τῶν τρισχιλίων· ἰδὲ § 18.—*κελεύσαντες ἐπὶ τὰ ὅπλα*] κατὰ βραχυλογίαν ἀντί, κελεύσαντες ἰέναι ἐπὶ τὰ ὅπλα. ἀντικμ. τοῦ κελεύσαντες ἐννοεῖται τοὺς φρουροὺς καὶ τῶν πολιτῶν τοὺς ὁμογνώμονας αὐτοῖς.—*ἐκεῖνοι*] οἱ ἔξω τοῦ καταλόγου.—*τοὺς φρουρούς*] τοὺς στρατιώτας τῶν Σπαρτιατῶν (§ 14).—*ἐν τῷ ναῷ*] τῆς Ἀθηνᾶς.

§ 21. *ὡς ἐξόν*] αἰτ. ἀπόλυτος=ἐπειδὴ ἐξῆν αὐτοῖς, ἐπειδὴ ἦτο εἰς τὴν ἐξουσίαν των· συντ. § 46, β΄.—*χρημάτων*] ἕνεκα.—*καὶ τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν*]=ἕκαστον (τῶν τριακοντα. ὑποκ.) λαβεῖν ἕνα (ἀντικ.) τῶν μετοίκων· δηλ. ἕκαστος ἐκ τῶν 30 νὰ λάβῃ ἕνα ἐκ τῶν πλουσίων μετοίκων. *μέτοικοι* δ᾽ ἐλέγοντο οἱ ξένοι οἱ διαμένοντες διὰ παντὸς ἐν Ἀθήναις, οἵτινες ἐπλήρωνον φόρον, *μετοίκιον* λεγόμενον.—*αὐτούς*] τοὺς μετοίκους.—*ἀποσημήνασθαι*]=δημεῦσαι.

§ 22. *ὅντινα βούλοιτο*] τῶν μετοίκων, ἵνα κάμωσιν αὐτὸν συνένοχον



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ' ἀπεκρίνατο. Ἀλλ' οὐ δοκεῖ μοι, ἔφη, καλὸν εἶναι φά-
σκοντας βελτίστους εἶναι ἀδικώτερα τῶν συκοφαντῶν ποι-
εῖν. Ἐκεῖνοι μὲν γάρ, παρ' ὧν χρήματα λαμβάνοιεν, ζῆν
εἴων, ἡμεῖς δὲ ἀποκτενοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρή-
23 ματα λαμβάνωμεν; Πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδι-
κώτερα; Οἱ δ' ἐμποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν,
ὅ, τι βούλοιντο, ἐπιβουλεύουσιν αὐτῷ καὶ ἰδίᾳ πρὸς τοὺς
βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον ὡς λυμαινόμενον
τὴν πολιτείαν. Καὶ παραγγείλαντες νεανίσκοις, οἳ ἐδόκουν
αὐτοῖς θρασύτατοι εἶναι, ξιφίδια ὑπὸ μάλης ἔχοντας πα-
24 ραγενέσθαι συνέλεξαν τὴν βουλήν. Ἐπεὶ δὲ ὁ Θηραμένης
παρῆν, ἀναστὰς ὁ Κριτίας ἔλεξεν ὧδε.

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλείους τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω, ὅτι ὅπου πολιτεῖαι μεθίστανται, πανταχοῦ ταῦτα γίγνεται· πλείστους δὲ ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλιγαρχίαν μεθιστᾶσι διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλληνίδων τὴν πόλιν εἶναι καὶ διὰ τὸ πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ τὸν δῆμον

---

καὶ πιστότερον.—*φάσκοντας*] ἐνῷ λέγομεν, διισχυριζόμεθα.—*παρ' ὧν λαμβάνοιεν*] ἡ εὐκτ. σημ. τὸ πολλάκις γινόμενον ἐν τῷ παρελθόντι.—*μηδὲν ἀδικοῦντας*] καὶ ἂν δὲν ἔχωσι κάμῃ κἀμμίαν ἀδικίαν· μετχ. ἐναντ.—*ταῦτα*] ὅσα θὰ πράξωμεν ἡμεῖς.—*ἐκείνων*] ὅσα ἔπραττον ἐκεῖνοι, οἱ συκοφάνται.—*τῷ παντί*]=πάντως, ἐπιτείνει τὴν σημασίαν τοῦ συγκριτικοῦ ἀδικώτερα.

§ 23. *ἐμποδὼν*] ἐμπόδιον.—*οἱ δ' . . . ἄλλος πρὸς ἄλλον διέβαλλον*] ἐνν. αὐτόν.—*ὡς λυμαινόμενον*] διότι δῆθεν ἔβλαπτεν.—*ὑπὸ μάλης*] κάτωθεν τῆς μασχάλης· ἰδὲ γραμμ. § 32.

§ 24. *τοῦ καιροῦ*]=ἢ καιρός ἐστι, περισσότεροι παρ' ὅσον ἐπιτρέπει ἡ περίστασις, περισσότεροι τοῦ πρέποντος.—*πολιτεῖαι μεθίστανται*] μεταβάλλονται πολιτεύματα, γίνονται μεταπολιτεύσεις.—*τοῖς μεθιστᾶσι*] ἐνν. τὴν πολιτείαν, ἐκ τοῦ ἡγουμένου πολ. μεθίστανται.—*τεθράφθαι*] τρέφομαι=ἀνατρέφομαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τεθράφθαι. ῾Ημεῖς δὲ γνόντες μὲν τοῖς οἵοις ἡμῖν τε καὶ 25 ὑμῖν χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δὲ ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ᾽ ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολιτείαν καθίσταμεν. Καὶ ἐάν τινα αἰσθανώμεθα ἐναν- 26 τίον τῇ ὀλιγαρχίᾳ, ὅσον δυνάμεθα, ἐκποδὼν ποιούμεθα· πολὺ δὲ μάλιστα δοκεῖ ἡμῖν δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτὸν διδόναι. Νῦν οὖν αἰσθανόμεθα Θηραμένην τουτονί, οἷς δύ- 27 ναται, ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. ῾Ως δὲ ταῦτα ἀληθῆ, ἂν κατανοῆτε, εὑρήσετε οὔτε ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. Εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι πονηρός γ᾽ ἂν δικαίως ἐνομίζετο· νῦν δὲ 28 αὐτὸς μὲν ἄρξας τῆς πρὸς Λακεδαιμονίους πίστεως καὶ

---

§ 25. *τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν*]=τοῖς οὖσι τοιούτοις, οἷοί ἐσμεν ἡμεῖς καὶ ὑμεῖς.—*ὁ δῆμος*] οἱ δημοκρατικοί.—*οἱ βέλτιστοι*] οἱ ὀλιγαρχικοί.—*σὺν τῇ γνώμῃ*] μὲ τὴν γνώμην, συμφώνως μὲ τὴν γνώμην.—*τήνδε τὴν πολιτείαν*] τὴν ὀλιγαρχίαν.

§ 26. *μάλιστα . . . δίκαιον*]=δικαιότατον· ἰδὲ γραμμ. § 39, 12.—*λυμαίνεται τῇ καταστάσει*] μετὰ δοτ. ἐνταῦθα, ἐνῷ ἀνωτέρω (§ 23) μετὰ αἰτ. ὁ ἐνεστ. βουλητικός=θέλει νὰ βλάψῃ τοῦτο τὸ πολίτευμα, δηλ. τὴν ὀλιγαρχίαν.—*δίκην διδόναι*] νὰ τιμωρηθῇ, τὸ δ᾽ ἐνεργ. *δίκην λαμβάνειν παρά τινος*=κολάζω· ἰδὲ συντ. § 35, 2 σημ. 3.

§ 27. *οἷς δύναται*] δι᾽ ὅσων μέσων δύναται, μὲ ὅλα τὰ δυνατὰ μέσα.—*ἀπολλύντα*] ὅτι προσπαθεῖ νὰ καταστρέψῃ.—*ὡς δὲ ταῦτα ἀληθῆ . . . εὑρήσετε οὔτε ψέγοντα*] ὅτι δὲ ταῦτα, ὅσα λέγω, εἶναι ἀληθῆ, θέλετε εὕρῃ ἐκ τούτου ὅτι οὐδεὶς ψέγει κτλ.—*τὰ παρόντα*] τὴν παροῦσαν κατάστασιν τῶν πραγμάτων, τὴν ὀλιγαρχίαν.—*πολέμιος μὲν ἦν*] ἰδὲ συντ. § 57, 1, δ΄.

§ 28. *νῦν δὲ αὐτὸς μὲν ἄρξας . . . οὐκέτ᾽ αὐτῷ ἀρέσκει*] σχῆμα ἀνα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ὑμᾶς τοῖς πρώτοις ὑπαγομένοις εἰς ὑμᾶς δίκην ἐπιτιθέναι νῦν, ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα, οὐκέτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ ἐν τῷ ἀσφαλεῖ καταστῇ, ἡμεῖς
29 δὲ δίκην δῶμεν τῶν πεπραγμένων. Ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσήκει, ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν διδόναι τὴν δίκην. Καίτοι τοσούτῳ μὲν δεινότερον προδοσία πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι τὸ ἀφανὲς τοῦ φανεροῦ, τοσούτῳ δ' ἔχθιον, ὅσῳ πολεμίοις μὲν ἄνθρωποι καὶ σπένδονται καὶ αὖθις πιστοὶ γίγνονται, ὃν δ' ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο πώποτε
30 οὐδεὶς οὔτ' ἐπίστευσε τοῦ λοιποῦ. Ἵνα δὲ εἰδῆτε, ὅτι οὐ καινὰ ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει προδότης ἐστίν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπραγμένα. Οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος ὑπὸ τοῦ δήμου κατὰ τὸν πατέρα Ἅγνωνα προπετέστατος ἐγένετο τὴν δημοκρατίαν μεταστῆσαι εἰς

---

κόλουθον· συντ. § 65.—*ἄρξας*]=ἐπεὶ ἦρξεν, ἔκαμεν ἀρχήν.—*ὑπαγομένοις εἰς ὑμᾶς*] καταμηνυομένους εἰς ὑμᾶς, τοὺς βουλευτὰς ὡς δικαστάς.—*δίκην ἐπιτιθέναι*] καταδικάζειν.—*αὖ*] πάλιν, ἂν ἤθελε γείνῃ μεταβολὴ τῆς πολιτείας.

§ 29. *ὥστε οὐ μόνον κτλ.*] ὥστε προσήκει αὐτῷ διδόναι τὴν δίκην οὐ μόνον ὡς ἐχθρῷ, ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν.—*τοσούτῳ δ' ἔχθιον, ὅσῳ . . . σπένδονται*] τὸ συγκριτικὸν λείπει ἀπὸ τοῦ δευτέρου κώλου ἐνυπάρχον ἐν τῇ ἐννοίᾳ· ὅσῳ πολεμίοις *μᾶλλον* σπένδονται ἄνθρωποι ἢ προδότῃ.—*ὃν δ' ἂν προδιδόντα λαμβάνωσι*]=ἐάν δέ τινα προδ. λαμβ., ὁσάκις καταλαμβάνωσιν· συντ. § 52, 3.—*ἐσπείσατο . . . ἐπίστευσε*] ἀόρ. γνωμικοὶ καὶ σημαίνουσι τὸ συνήθως γινόμενον.

§ 30. *οὐ καινά*]=ταῦτα, ἃ οὗτος ποιεῖ, οὐ καινὰ (ἀσυνήθη, ἀνέλπιστα) ἐστιν· κατ' ἀντίθεσιν πρὸς τὸ *φύσει προδότης*, δηλ. ἐξ ἀρχῆς καὶ πρότερον.—*οὗτος γάρ*]=οὗτος δηλαδή.—*κατὰ τὸν πατέρα Ἅγνωνα*] κατὰ τὸ παράδειγμα τοῦ πατρός του Ἅγνωνος.—*προπετέστατος*] προθυμότατος.—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς τετρακοσίους καὶ ἐπρώτευεν ἐν ἐκείνοις. Ἐπεὶ δ᾿
ᾔσθετο ἀντίπαλόν τι τῇ ὀλιγαρχίᾳ συνιστάμενον, πρῶτος
αὖ ἡγεμὼν τῷ δήμῳ ἐπ᾿ ἐκείνους ἐγένετο· ὅθεν δήπου καὶ
κόθορνος ἐπικαλεῖται· [καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν 31
τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δὲ ἀπ᾿ ἀμφοτέ-
ρων]. Δεῖ δέ, ὦ Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν οὐ
προάγειν μὲν δεινὸν εἶναι εἰς πράγματα τοὺς συνόντας,
ἂν δέ τι ἀντικόπτῃ εὐθὺς μεταβάλλεσθαι, ἀλλ᾿ ὥσπερ ἐν
νηὶ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν· εἰ δὲ μή,
πῶς ἂν ἀφίκοιντό ποτε, ἔνθα δεῖ, εἰ ἐπειδάν τι ἀντι-
κόψῃ, εὐθὺς εἰς τἀναντία πλέοιεν; Καὶ εἰσὶ μὲν δήπου πᾶ- 32
σαι μεταβολαὶ πολιτειῶν θανατηφόροι, σὺ δὲ διὰ τὸ εὔ-
μετάβολος εἶναι πλείστοις μὲν μεταίτιος εἶ ἐξ ὀλιγαρχίας
ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ᾿ ἐκ δημοκρατίας
ὑπὸ τῶν βελτιόνων. Οὗτος δέ τοί ἐστιν, ὃς καὶ ταχθεὶς

---

*εἰς τοὺς τετρακοσίους*] εἰς τὴν ὀλιγαρχίαν τῶν 400.—*ἐν ἐκείνοις*] μεταξὺ ἐκείνων, τῶν 400.—*ἀντίπαλόν τι συνιστάμενον*] ὅτι ἀντίπαλον κόμμα ἐσχηματίζετο.—*ἐπ᾿ ἐκείνους*] ἐναντίον ἐκείνων, τῶν 400.

§ 31. *κόθορνος*] ὑπόδημα τῶν ὑποκριτῶν τῆς τραγῳδίας. Ἐνταῦθα σκωπτικῶς λέγεται κόθορνος ὁ Θηραμένης καὶ χαρακτηρίζεται ὡς ἄστατος καὶ εὐμετάβολος.—*ἀποβλέπει δὲ ἀπ᾿ ἀμφοτέρων*] ἐνν. τῶν ποδῶν. Ὁ κόθορνος φαίνεται μὲν ὅτι ἁρμόζει καὶ εἰς τοὺς δύο πόδας, ἀλλὰ δὲν ταιριάζει (ἀποβλέπει) ἐντελῶς οὔτε μὲ τὸν ἕνα οὔτε μὲ τὸν ἄλλον.—*δεινόν*] ἐπιτήδειον, ἱκανόν· τὸ ἀντίθετον *ἰδιώτης*=ἀνίκανος.—*εἰς πράγματα*] εἰς ἐπικίνδυνα πράγματα, ἐπιχειρήσεις.—*διαπονεῖσθαι*] ἐκ τοῦ δεῖ, τὸ δὲ ὑποκ. εἶναι *τοὺς πλέοντας* ἐκ τοῦ *νηὶ* λαμβανόμενον=ἐπιμένειν ἐν τοῖς πόνοις.—*οὖρον*] οὔριον ἄνεμον.—*εἰ δὲ μή*] ἐνν. διαπονοῖντο.—*εἰ . . . πλέοιεν*] ἐπεξήγησις τοῦ ἡγουμένου εἰ δὲ μή· ἀντίθετον τοῦ διαπονεῖσθαι.

§ 32. *θανατηφόροι*] φέρουσι θανάτους.—*μεταίτιος*] μετ᾿ ἄλλων αἴτιος, συναίτιος.—*πλείστοις . . . ἐξ ὀλιγαρχίας*]=πλείστοις τῶν ὀλιγαρχικῶν, τῶν βελτιόνων.—*πλείστοις δ᾿ ἐκ δημοκρατίας*]=πλείστοις δημοκρατικῶν.—*ὑπὸ τῶν βελτιόνων*]=ὑπὸ τῶν ὀλιγαρχικῶν.—*καὶ ταχθείς*]=καίπερ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς καταδύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ αὐτὸς οὐκ ἀνελόμενος ὅμως τῶν στρατηγῶν κατηγορῶν ἀπέκτεινεν αὐτούς, ἵνα αὐτὸς
33 περισωθείη. Ὅστις γε μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελόμενος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπόμενος, πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δὲ οὐ φυλάξασθαι εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ καὶ ἡμᾶς ταὐτὸ δυνασθῇ ποιῆσαι; Ἡμεῖς οὖν τοῦτον ὑπάγομεν καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ ὑμᾶς. Ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε.
34 Καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακεδαιμονίων. εἰ δὲ ἐκείνῃ ἐπιχειρήσειέ τις τῶν ἐφόρων ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι ψέγειν τε τὴν ἀρχὴν καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; Καὶ ὑμεῖς οὖν ἐὰν σωφρονῆτε, οὐ τούτου, ἀλλ' ὑμῶν αὐτῶν φείσεσθε, ὡς οὗτος σωθεὶς μὲν πολλοὺς ἂν μέγα φρονεῖν ποιήσειε τῶν ἐναν-

---

ταχθείς, ἂν καὶ ἐτάχθη (διωρίσθη.)—*ἐν τῇ . . . ναυμαχίᾳ*] ἐν Ἀργινούσαις, ἰδὲ 1, 7, 17.—*αὐτὸς οὐκ ἀνελόμενος*] ἐνν. αὐτοὺς τοὺς καταδύντας· ἐνῷ αὐτὸς δὲν ἀνέλαβεν αὐτούς.—*ἀπέκτεινεν αὐτούς*] ἔγεινεν αἴτιος νὰ φονευθῶσιν.

§ 33. *πλεονεκτεῖν*] ἰδὲ § 16.—*μηδὲν ἐντρεπόμενος*] μηδόλως φροντίζων.—*ὡς μὴ δυνασθῇ*] πλαγία ἐρώτησις ἐκ τοῦ φυλάξασθαι, εἰς τὸ ὁποῖον ἐνν. *φοβουμένους*, σπανίως μετὰ τοῦ ὡς ἀντὶ τοῦ ἁπλοῦ μή.—*ὑπάγομεν*] ἄγομεν ὑπὸ δίκην, καταγγέλλομεν.

§ 34. *ἐκείνῃ*] δηλ. τῇ Λακεδαιμονίων πολιτείᾳ.—*τοῖς πλείοσι*] τῶν ἐφόρων.—*οὐκ ἂν . . . ἀξιωθῆναι*] ὅτι οὐκ ἂν ἀξιωθείη, ἀπόδοσις τοῦ εἴ τις ἐπιχειρήσειε.—*ὡς οὗτος σωθεὶς μὲν . . . ἀπολόμενος δέ*] τὸ ὡς αἰτιολογικόν=εἰ μὲν σωθείη . . . εἰ δὲ ἀπόλοιτο, ὧν αἱ ἀποδόσεις εἶναι ἂν ποιήσειε . . . ὑποτέμοι. ἄν.—*τῶν ἐναντίᾳ γιγνωσκόντων ὑμῖν*] τῶν πολι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τία γιγνωσκόντων ὑμῖν, ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας.

Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ ἀναστὰς 35
ἔλεξεν, Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες, ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. Φησὶ γάρ με τοὺς στρατηγοὺς ἀποκτεῖναι κατηγοροῦντα. Ἐγὼ δὲ οὐκ ἦρχον δήπου κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν προσταχθέν μοι ὑφ' ἑαυτῶν οὐκ ἀνελέσθαι τοὺς δυστυχοῦντας ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ. Ἐγὼ δὲ ἀπολογούμενος, ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι τοὺς ἄνδρας δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέγειν, ἐκεῖνοι δ' ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. Φάσκοντες γὰρ οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι αὐτοὺς ἀπολέσθαι ἀποπλέοντες ᾤχοντο.
Οὐ μέντοι θαυμάζω γε τὸ Κριτίαν παρανενομηκέναι· ὅτε 36
γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν κατεσκεύαζε καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. Ὧν μὲν οὖν οὗτος ἐκεῖ 37
ἔπραττε, μηδὲν ἐνθάδε γένοιτο· τάδε γε μέντοι ὁμολογῶ

---

τικῶν ἐχθρῶν σας, τῶν δημοκρατικῶν.—*τῶν ἔξω*] τῆς πόλεως, τῶν φυγόντων ἢ ἐξορισθέντων δημοκρατικῶν.

§ 35. *γάρ*] δηλαδή.—*ἀποκτεῖναι*] ἰδὲ § 32.—*προσταχθέν*] αἰτ. ἀπόλυτος· ἐναντιωμ. μεχ. ἐνν. ἀνελέσθαι.—*τοὺς δυστυχοῦντας*] τοὺς ναυαγούς.—*χειμῶνα*] τρικυμίαν.—*ὡς δυνατὸν ἦν*] εἰς ἀπολογίαν μου εἶπον, ὅτι διὰ κτλ.—*οὐδὲ πλεῖν*] τὸ ουδὲ ἐλατωττικόν.—*μὴ ὅτι*]=ἥκιστα δέ· δηλ. ὄχι μόνον ν' ἀναλάβωμεν τοὺς ἄνδρας δὲν ἦτο δυνατόν, ἀλλ' οὐδὲ κἂν νὰ πλεύσωμεν.—*φάσκοντες γὰρ*] διότι ἐνῷ διισχυρίζοντο. — *προέμενοι*] μέσ. ἀόρ. β' τοῦ προΐεμαι=ἀφίνω τι νὰ χαθῇ.

§ 36. *οὐ θαυμάζω*] δὲν παραξενεύομαι.—*παρενενομηκέναι*] παράνομα ἔχει πράξη, δηλ. παρανόμως μὲ κατηγορεῖ.—*Προμηθεὺς*] ὠνομάσθη ὁ Ἰάσων ὁ τύραννος τῶν Φερῶν.—*δημοκρατίαν κατεσκεύαζε*] ἀνταποδίδει ὁ Θηραμ. τὴν κατηγορίαν τῆς ἀστασίας εἰς τὸν Κριτίαν.—*πενέσται*] οἱ δοῦλοι ἐν Θεσσαλίᾳ

§ 37. *ὧν ἔπραττε*] καθ' ἕλξιν ἀντὶ μηδὲν τούτων, ἃ ἔπρ.—*γένοιτο*] σημ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐγὼ τούτῳ, εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλεται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς ποιεῖ, δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν τιμωρίας τυγχάνειν· ὅστις μέντοι ὁ ταῦτα πράττων ἐστίν, οἴομαι ἂν ὑμᾶς κάλλιστα κρίνειν, τά τε πεπραγμένα καὶ ἃ νῦν πράτει ἕκαστος ἡμῶν εἰ κατα-
38 νοήσετε. Οὐκοῦν μέχρι μὲν τοῦ ὑμᾶς τε κατασῆναι εἰς τὴν βουλείαν καὶ ἀρχὰς ἀποδειχθῆναι καὶ τοὺς ὁμολογουμένως συκοφάντας ὑπάγεσθαι πάντες ταὐτὰ ἐγιγνώσκομεν· ἐπεὶ δέ γε οὗτοι ἤρξαντο ἄνδρας καλούς τε κἀγαθοὺς συλλαμβάνειν, ἐκ τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις
39 γιγνώσκειν. Ἤδειν γὰρ ὅτι ἀποθνήσκοντος μὲν Λέοντος τοῦ Σαλαμινίου, ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος ἱκανοῦ εἶναι, ἀδικοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φοβήσοιντο, φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ ἔσοιντο· ἐγίγνωσκον δέ, ὅτι συλλαμβανομένου Νικηράτου τοῦ Νικίου καὶ πλουσίου καὶ οὐδὲν πώποτε δημοτικὸν οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος οἱ τούτῳ ὅμοιοι δυσμενεῖς ὑμῖν
40 γενήσοιντο. Ἀλλὰ μὴν καὶ Ἀντιφῶντος ὑφ' ἡμῶν ἀπολλυμένου, ὅς ἐν τῷ πολέμῳ δύο τριήρεις εὖ πλεούσας παρείχετο, ἠπιστάμην, ὅτι καὶ οἱ πρόθυμοι τῇ πόλει γεγε-

---

εὐχήν.—*ποιεῖ*]=βούλεται ποιῆσαι, παράλληλον τῷ βούλεται παῦσαι.—*ὅστις*]=τίς. κατηγορ.—*ἂν . . . κρίνειν*]=κρίνοιτε ἄν.

§ 38. *οὐκοῦν*]=λοιπόν, *οὔκουν*=λοιπὸν δέν.—*τοὺς ὁμολογουμένως συκοφάντας*]=*οὓς πάντες ᾔδεσαν ἀπὸ συκοφαντίας ζῶντας* § 12.—*ἐκ τούτου*] ἀπὸ τότε.

§ 39. *Λέοντος*] ὅστις ἦν πλούσιος και ἐκ φόβου εἶχε φύγῃ εἰς Σαλαμῖνα, ἀλλ' οἱ 30 ἔστειλαν καὶ συνέλαβον αὐτόν —*οὐδὲ ἕν*]=οὐδὲ μίαν ἀδικίαν, ἐντονώτερον ἢ τὸ οὐδέν.—*Νικίου*] τοῦ πολιτικοῦ καὶ στρατηγοῦ τῶν Ἀθηναίων εἰς τὴν κατὰ τῆς Σικελίας ἐκστρατείαν, ὅπου ἐφονεύθη. Οὗτος ἦν εἷς τῶν πλουσιωτάτων Ἀθηναίων.—*δημοτικόν*] ὑπὲρ τοῦ δήμου, διότι ὁ Νικήρατος ἦν ἀριστοκρατικός.

§ 40. *Ἀντιφῶν*] οὐχὶ ὁ ῥήτωρ.—*οἱ πρόθυμοι γεγενημένοι*] ὅσοι προ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νημένοι πάντες ὑπόπτως ἡμῖν ἕξοιεν. Ἀντεῖπον δέ, καὶ ὅτε τῶν μετοίκων ἕνα ἕκαστον λαβεῖν ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν, ὅτι τούτων ἀπολομένων καὶ οἱ μέτοικοι ἅπαντες πολέμιοι τῇ πολειτείᾳ ἔσοιντο. Ἀντεῖπον δέ, καὶ 41
ὅτε τὰ ὅπλα τοῦ πλήθους παρῃροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν πόλιν ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους ἑώρων τούτου ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως ὀλίγοι γενόμενοι μηδὲν δυναίμεθ᾽ αὐτοὺς ὠφελεῖν· ἐξῆν γὰρ αὐτοῖς, εἰ τούτου γ᾽ ἐδέοντο, καὶ μηδένα λιπεῖν ὀλίγον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας. Οὐδέ γε τὸ φρου- 42
ροὺς μισθοῦσθαι συνήρεσκέ μοι, ἐξὸν αὐτῶν τῶν πολιτῶν τοσούτους προσλαμβάνειν, ἕως ῥᾳδίως ἐμέλλομεν οἱ ἄρχοντες τῶν ἀρχομένων κρατήσειν. Ἐπεί γε μὴν πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυσμενεῖς, πολλοὺς δὲ φυγάδας γιγνομένους, οὐκ αὖ ἐδόκει μοι οὔτε Θρασύβουλον οὔτε Ἄνυτον οὔτε Ἀλκιβιάδην φυγαδεύειν· ᾔδειν γάρ, ὅτι οὕτω γε τὸ ἀντίπαλον ἰσχυρὸν ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγεμόνες ἱκανοὶ προσγενήσοιντο, τοῖς δ᾽ ἡγεῖσθαι

---

θύμως εἶχον συνεισφέρῃ ὑπὲρ τῆς πόλεως.—*ὑπόπτως . . . ἕξοιεν*] θὰ μᾶς ὑποπτεύωσιν, ἐν ἐνεργ. σημασίᾳ.—*τῶν μετοίκων ἕνα ἕκαστον*] ἰδὲ § 21.—*τούτων ἀπολομένων*]=εἰ οὗτοι ἀπόλοιντο.—*ὅτι ἔσοιντο*] ὑποκμ. τοῦ *εὔδηλον ἦν*].—*τῇ πολιτείᾳ*] τῇ ἡμετέρᾳ, ἤτοι τῶν 30.

§ 41. *τὰ ὅπλα…παρῃροῦντο*] ἤθελον ν᾽ ἀφαιρέσωσιν· ἰδὲ § 20.—*ὅπως…δυναίμεθα*] τελικὴ πρότασις· ἐπεξήγησις τοῦ *τούτου ἕνεκα*.—*καὶ μηδένα*] ἡμῶν ὁ καὶ ἐπιδοτικός· οὐ μόνον ὀλίγους, ἀλλὰ καὶ μηδένα.—*πιέσαντας*] τὸ ὑντικμ. ἡμᾶς ἡ μετοχὴ συμφωνεῖ οὐχὶ πρὸς τὸ *αὐτοῖς*, ἀλλὰ πρὸς τὸ ἐξ αὐτοῦ λαμβανόμενον ὑποκμ. τοῦ λιπεῖν, αὐτοὺς (Λακεδ.).

§ 42. *συνήρεσκέ μοι*] οὐκ ἤρεσκέ μοι σὺν αὐτοῖς, τοῖς ἄλλοις τῶν 30.—*ἕως*]=ὅσοις.—*ἐμέλλομεν οἱ ἄρχοντες*] ἐνν. ἡμεῖς.—*Ἄνυτος*] ὁ διαβόητος κατήγορος τοῦ Σωκράτους.—*φυγαδεύειν*] νὰ ἐξορίζωμεν.—*τὸ ἀντίπαλον*] ἡ ἀντίπαλος φατρία.—*εἰ προσγενήσοιντο…φανήσοιντο*] ἐπεξήγησις τοῦ οὕτω.—*τῷ πλήθει*]=τοῖς πολλοῖς, τοῖς δημοκρατικοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

43 βουλομένοις σύμμαχοι πολλοὶ φανήσοιντο. Ὁ ταῦτα οὖν
νουθετῶν ἐν τῷ φανερῷ πότερα εὐμενὴς ἂν δικαίως ἢ
προδότης νομίζοιτο; Οὐχ οἱ ἐχθρούς, ὦ Κριτία, κωλύοντες
πολλοὺς ποιεῖσθαι οὐδ' οἱ συμμάχους πλείστους διδάσκον-
τες κτᾶσθαι οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν, ἀλλὰ
πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι καὶ
τοὺς οὐδὲν ἀδικοῦντας ἀποκτείνοντες οὗτοί εἰσιν οἱ καὶ
πολλοὺς τοὺς ἐναντίους ποιοῦντες καὶ προδιδόντες οὐ μό-
44 νον τοὺς φίλους, ἀλλὰ καὶ ἑαυτοὺς δι' αἰσχροκέρδειαν. Εἰ
δὲ μὴ ἄλλως γνωστόν, ὅτι ἀληθῆ λέγω, ὧδε ἐπισκέψασθε.
Πότερον οἴεσθε Θρασύβουλον καὶ Ἄνυτον καὶ τοὺς ἄλ-
λους φυγάδας, ἃ ἐγὼ λέγω μᾶλλον ἂν ἐνθάδε βούλεσθαι
γίγνεσθαι ἢ ἃ οὗτοι πράττουσιν; Ἐγὼ μὲν γὰρ οἶμαι νῦν
μὲν αὐτοὺς νομίζειν συμμάχων πάντα μεστὰ εἶναι· εἰ δὲ τὸ
κράτιστον τῆς πόλεως προσφιλῶς ἡμῖν εἶχε, χαλεπὸν ἂν
45 ἡγεῖσθαι εἶναι καὶ τὸ ἐπιβαίνειν ποι τῆς χώρας. Ἃ δ' αὖ
εἶπεν, ὡς ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, κατανο-
ήσατε καὶ ταῦτα. Τὴν μὲν γὰρ ἐπὶ τῶν τετρακοσίων πολι-
τείαν καὶ αὐτὸς δήπου ὁ δῆμος ἐψηφίσατο διδασκόμενος,
ὡς οἱ Λακεδαιμόνιοι πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημο-
46 κρατίᾳ πιστεύσειαν. Ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν,

---

§ 43. *οὐχ οἱ κτλ.*] τὸ οὐχ ἀναφέρεται εἰς τὸ *οὗτοι...ποιοῦσιν*.

§ 44. *ἐπισκέψασθε*] τὸ ῥ. ἐπισκοπῶ. *ἃ ἐγὼ λέγω*] ἐνν. δεῖν γίγνεσθαι. —*ἂν βούλεσθαι*]=ὅτι βούλοιντο ἂν γίγνεσθαι· τὸ ὑποκ. Θρασύβ. καὶ Ἄνυτον καί τοὺς ἄλ. φυγάδας.—*ἡγεῖσθαι*] ἐκ τοῦ οἶμαι· τὸ ὑποκ. εἶναι αὐτούς.—*χαλεπὸν ἂν...εἶναι*] ὅτι χαλεπὸν ἂν ἦν, ἀπόδοσις τοῦ εἰ. . . εἶχεν. —*καὶ τὸ ἐπιβαίνειν*] ὁ καὶ ἐλαττωτικός. — *τῆς χώρας*] γεν. διαιρ. ἐκ τοῦ ποι.

§ 45. *ὡς*] ὅτι δῆθεν.—*εἰμὶ οἷος...μεταβάλλεσθαι*] εἰμὶ τοιοῦτος, ὥστε νὰ μεταβάλλωμαι.—*ταῦτα*]=τάδε, δεικνύει τὰ ἑπόμενα.—*γὰρ*] δηλαδή.

§ 46. *οὐδὲν ἀνίεσαν*] δὲν ἔπαυον διόλου τὰς ἐχθροπραξίας.—*Ἀριστοτέ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἱ δὲ ἀμφὶ Ἀριστοτέλην καὶ Μελάνθιον καὶ Ἀρίσταρχον στρατηγοῦντες φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα τειχίζοντες, εἰς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι ὑφ᾽ αὑτοῖς καὶ τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι, εἰ ταῦτ᾽ αἰσθόμενος ἐγὼ διεκώλυσα, τοῦτ᾽ ἐστὶ προδότην εἶναι τῶν φίλων; Ἀποκαλεῖ δὲ κόθορνόν με ὡς ἀμφοτέροις πειρώ- 47
μενον ἁρμόττειν. Ὅστις δὲ μηδετέροις ἀρέσκει, τοῦτον ὦ πρὸς τῶν θεῶν τί ποτε καὶ καλέσαι χρή; Σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντων μισοδημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων μισοχρηστότατος γεγένησαι.
Ἐγὼ δ᾽, ὦ Κριτία, ἐκείνοις μὲν ἀεί ποτε πολεμῶ τοῖς οὐ 48
πρόσθεν οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν καὶ οἱ δοῦλοι καὶ οἱ δι᾽ ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν αὐτῆς μετέχοιεν, καὶ τοῖσδε γ᾽ αὖ ἀεὶ ἐναντίος εἰμί, οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν,

---

*λην...Ἀρίσταρχον*] οὗτοι ἦσαν ἐκ τῶν 400.—*ἐπὶ τῷ χώματι ἔρυμα τειχίζοντες*] ἐπὶ τῆς ἄκρας Ἠετιωνείας, ἥτις ἐστὶ παρὰ τὴν εἴσοδον τοῦ λιμένος Πειραιῶς, οἱ 400 ἔκτισαν φρούριον, ἵνα δεχθῶσι τοὺς πολεμίους Λακεδαιμονίους, διότι ὁ ἐν Σάμῳ στρατὸς τῶν Ἀθηναίων ἀπέστη εἰς δημοκρατίαν καὶ ἠπείλει αὐτοὺς (Θουκ. 8, 90) —*ὑφ᾽ αὑτοῖς ποιήσασθαι*] ὑπὸ τὴν ἐξουσίαν ἑαυτῶν.—*τοῦτο*] τὸ κωλῦσαι ταῦτα.

§ 47. *ὡς πειρώμενον*] διότι δῆθεν, κατὰ τὴν γνώμην του. — *ὦ πρὸς τῶν θεῶν*] ἡ πρὸς ἐπὶ ὅρκου.—*τί ποτε καὶ καλέσαι χρή*] τὸ ποτὲ ἐπὶ ἐρωτήσεων σημ. ἀπορίαν καὶ θαυμασμὸν τοῦ ἐρωτῶντος, ὡς καὶ τὸ εἶτα καὶ ἔπειτα· ἰδὲ καὶ 1, 7, 18. Τὸ δὲ καὶ ἐπιτείνει τὴν ἐρώτησιν.

§ 48. *καλὴν ἂν...εἶναι*]=ὅτι καλὴ ἂν εἴη.—*οἱ δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν*]=οἳ ἂν ἀποδοῖντο τὴν πόλιν δραχμῆς (γεν. τοῦ τιμήματος), ὅσοι ἕνεκα πενίας δύνανται νὰ πωλήσωσι τὴν πόλιν ἀντὶ μιᾶς δραχμῆς.—*αὐτῆς μετέχοιεν*] τῆς δραχμῆς, δηλ. γείνωσι βουλευταί, οἵτινες ἐλάμβανον *μισθὸν βουλευτικὸν* μίαν δραχμὴν τὴν ἡμέραν.—*καὶ τοῖς δε γ᾽ αὖ*] ἀφ᾽ ἑτέρου (αὖ) δὲ καὶ πρὸς ἐκείνους.—*καλὴν ἂν ἐγγενέσθαι*] = ὅτι καλὴ ἂν ἐγγένοιτο. Ὁ Θηραμένης λοιπὸν λέγει ἐνταῦθα, ὅτι ἦτο ἐναντίος

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὶν εἰς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι τὴν πόλιν καταστή-
σειαν. Τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ μεθ' ἵππων καὶ
μετ' ἀσπίδων ὠφελεῖν διατάττειν τὴν πολιτείαν πρόσθεν
49 ἄριστον ἡγούμην εἶναι καὶ νῦν οὐ μεταβάλλομαι. Εἰ δ'
ἔχεις εἰπεῖν, ὦ Κριτία, ὅπου ἐγὼ σὺν τοῖς δημοτικοῖς ἢ
τυραννικοῖς τοὺς καλούς τε κἀγαθοὺς ἀποστερεῖν πολι-
τείας ἐπεχείρησα, λέγε· ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα
πράττων ἢ πρότερον πώποτε πεποιηκώς, ὁμολογῶ τὰ πάν-
των ἔσχατα παθὼν ἂν δικαίως ἀποθνήσκειν.
50 Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο καὶ ἡ βουλὴ δήλη ἐγέ-
νετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας, ὅτι, εἰ
ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀναφεύ-
ξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος προσελθὼν καὶ
διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε καὶ ἐπιστῆναι ἐκέλευσε
τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς τῇ βουλῇ ἐπὶ τοῖς
51 δρυφάκτοις. Πάλιν δὲ εἰσελθὼν εἶπεν, Ἐγώ, ὦ βουλή,
νομίζω προστάτου ἔργον εἶναι, οἷου δεῖ, ὃς ἂν ὁρῶν τοὺς

---

καὶ τῆς ὀχλοκρατίας καὶ τῆς τῶν ὀλίγων τυραννίας.—*τὸ μέντοι...διατάττειν*]=τὸ διατάττειν (τακτοποιεῖν) τὴν πολιτείαν σὺν τοῖς δυναμένοις ὠφελεῖν αὐτὴν ἡγούμην εἶναι ἄριστον.—*καὶ μεθ' ἵππων καὶ μετ' ἀσπίδων*] δηλ. καὶ ὡς ἱππεῖς καὶ ὡς ὁπλῖται.

§ 49. *ἔχεις εἰπεῖν*] δύνασαι νὰ εἴπῃς—*ὅπου*]=ποῦ.—*ἐλεγχθῶ . . . πράττων . . . πεποιηκώς*] ἰδὲ συντ. § 45, 6', 7.—*παθὼν ἂν δικαίως ἀποθνήσκειν*]=εἰ πάθοιμι τὰ ἔσχατα πάντων, δικαίως ἂν ἀποθνήσκοιμι.

§ 50. *ἐπιθορυβήσασα*] διὰ θορύβου δηλώσασα γνώμην εὐμενῆ.—*διαψηφίζεσθαι*] ἰδὲ 1, 7, 9·—*ἀναφεύξοιτο*] ἤθελε διαφύγῃ, σωθῇ ὁ Θηραμ.—*καὶ τοῦτο*] τὸ ἀναφεύξεσθαι.—*οὐ βιωτόν*]=ἀβίωτον. ἀνυπόφορον, τουτέστιν ὅτι ἦτο ἀνάξιον πλέον νὰ ζῇ.—*τούς τὰ ἐγχειρίδια ἔχοντας*] ἰδὲ § 23.—*φανερῶς τῇ βουλῇ*] ὥστε νὰ τοὺς βλέπωσιν οἱ βουλευταί.—*δρύφακτα*] εἶνε ξύλιναι κιγκλίδες χωρίζουσαι τὸ μέρος, ὅπου συνεδρίαζεν ἡ βουλή, ἀπὸ τοῦ ἀκροατηρίου.

§ 51. *προστάτου*] ἰδὲ 1, 7, 2.—*οἷου δεῖ*] καθ' ἕλξιν ἀντὶ οἷον δεῖ ἐνν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φίλους ἐξαπατωμένους μὴ ἐπιτρέπη. Καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. Καὶ γὰρ οἵδε οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον. Ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις τῶν μὲν ἐν τοῖς τρισχιλίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς τριάκοντα θανατοῦν. Ἐγὼ οὖν, ἔφη, Θηραμένην τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου συνδοκοῦν ἅπασιν ἡμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν. Ἀκούσας ταῦτα ὁ 52
Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν ἑστίαν καὶ εἶπεν, Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐννομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ μήτε ὑμῶν, ὃν ἂν βούληται, ἀλλ' ὅνπερ νόμον οὗτοι ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. Καὶ τοῦτο μέν, ἔφη, μὰ τοὺς θεοὺς οὐκ ἀγνοῶ, ὅτι οὐδέν 53
μοι ἀρκέσει ὅδε ὁ βωμός, ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ περὶ θεοὺς ἀσεβέστατοι. Ὑμῶν μέντοι, ἔφη,

---

εἶναι τὸν προστάτην.—*ὅς ἂν . . . μὴ ἐπιτρέπη*] ἀντὶ μὴ ἐπιτρέπειν, ὑποκ. τοῦ ἔργον εἶναι —*τοῦτο ποιήσω*] δηλ. δὲν θὰ ἐπιτρέψω.—*οἵδε οἱ ἐφεστηκότες*] αὐτοὶ ἐδῶ οἱ στεκόμενοι, οἱ τὰ ἐγχειρίδια ἔχοντες.—*οὔ φασιν ἐπιτρέψειν*]=φασὶν οὐκ ἐπιτρέψειν.—*εἰ ἀνήσομεν*] ἂν ἀφήσωμεν, ἂν δὲν φονεύσωμεν.—*ἄνδρα*] τὸν Θηραμένην.—*ἐν τοῖς καινοῖς νόμοις*] οὓς αὐτοὶ οἱ 30 συνέγραψαν.—*τῶν δ' ἔξω*] ἀντικ. τοῦ θανατοῦν κατὰ γεν. διαιρετ.—*ἐκ τοῦ καταλόγου*] τῶν τρισχιλίων.—*συνδοκοῦν*] αἰτ. ἀπόλυτ. συναινούντων ἁπάντων ἡμῶν.

§ 52. *ἑστίαν*] *τὴν βουλαίαν*, εἰς τὸν ἐν τῇ βουλῇ βωμὸν τῆς ἑστίας, ὅπου ὡρκίζοντο οἱ βουλευταί. Κατέφυγε δ' ἐκεῖ ὁ Θηραμ. ὡς εἰς ἄσυλον. —*τὰ ἐννομώτατα*] τὰς ἐννομωτάτας ἱκεσίας.—*ἐπὶ Κριτίᾳ*] ἐπεξήγησις τοῦ τὰ ἐννομώτατα· νὰ μὴ ἦναι εἰς τὴν ἐξουσίαν τοῦ Κριτίου.

§ 53. *τοῦτο*] δεικνύει τὰ ἑπόμενα=τόδε.—*ὅδε ὁ βωμός*] αὐτὸς ἐδῶ ὁ βωμὸς τῆς ἑστίας.=*οὐδέν μοι ἀρκέσει*] οὐδόλως θὰ μὲ προστατεύσῃ.—*ἀσεβέστατοι*] διότι ἀσέβεια ἐνομίζετο ν' ἀπαγάγωσι τὸν καταφυγόντα εἰς τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὦ ἄνδρες καλοὶ κἀγαθοί, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς καὶ ταῦτα γιγνώσκοντες, ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα
54 εὐεξαλειπτότερον ἢ τὸ ὑμῶν ἑκάστου. Ἐκ δὲ τούτου ἐκέλευσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν Θηραμένην, ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου τε καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας, Παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένη τουτονὶ κατακεκριμένον κατὰ τὸν νόμον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες [οἱ ἕνδεκα], οὗ δεῖ, τὰ ἐκ τούτων
55 πράττετε. Ὡς δὲ ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. Ὁ δὲ Θηραμένης, ὥσπερ εἰκός, καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους καθορᾶν τὰ γιγνόμενα. Ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν καὶ οὐκ ἀγνοοῦντες,
56 ὅτι ἐγχειρίδια ἔχοντες παρῆσαν. Οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα, οἷα ἔπασχε. Λέγεται δὲ ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. Ὡς εἶπεν ὁ Σάτυρος, ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν, ἐπήρετο,

---

ἄσυλον τοῦ βωμοῦ.—*ὑμῶν θαυμάζω . . . εἰ*] μετὰ γεν. τὸ θαυμάζω τίθεται ἐπὶ μομφῆς=παραξενεύομαι· τὸ δ' αἴτιον τοῦ θαυμασμοῦ εἶναι εἰ μὴ βοηθήσετε.—*καὶ ταῦτα*] καὶ μάλιστα.

§ 54. *ἐκ τούτου*] μετὰ τοῦτο.—*ἐκέλευσεν . . . ἐπὶ τὸν Θηραμένην*] ἰδὲ § 20 κελεύσαντες ἐπὶ τὰ ὅπλα.—*τοὺς ἕνδεκα*] ἰδὲ 1, 7, 10.—*ἐκεῖνοι δὲ εἰσελθόντες*] ὀνομ. ἀπόλυτος· σχῆμα ἀνακόλουθον· ἰδὲ συντ. § 65.—*οὗ δεῖ*] ἐνν. ἀπάγειν —*τὰ ἐκ τούτων*] τὰ ἐπακόλουθα τούτων, κατ' εὐφημισμὸν ἀντί, θανατώσατε αὐτόν.

§ 55. *ἡσυχίαν εἶχεν*]=ἡσύχαζεν, ἔμενεν ἥσυχος· συνώνυμος φράσις εἶναι ἡσυχίαν ἄγω.—*οὐκ ἀγνοοῦντες*] κατὰ σύνεσιν ἀναφέρεται εἰς τὸ βουλή.

§ 56. *καὶ τοῦτο*]=τόδε, τὸ ἑπόμενον.—*ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν*] ἐν ὀρθῷ λόγῳ ἤθελεν εἶναι. οἰμώξῃ, εἰ μὴ σιωπήσεις· θὰ σὲ πάρῃ ὁ διά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἂν δὲ σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; Καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν. Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ. Καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα, ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστόν, τὸ τοῦ θανάτου παρεστηκότος μήτε τὸ φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς.

Κεφ. Δ΄. Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ 1
τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰσιέναι εἰς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵν' αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. Φευγόντων δὲ εἰς τὸν Πειραιᾶ καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

Ἐκ δὲ τούτου Θρασύβουλος ὁρμηθεὶς ἐκ Θηβῶν ὡς 2
σὺν ἑβδομήκοντα Φυλὴν χωρίον καταλαμβάνει ἰσχυρόν. Οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεως σύν τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι καὶ μάλ' εὐημερίας οὔσης.

---

βολος.—*ἀποκοτταβίσαντα*] ὁ κότταβος ἦν εἶδος παιγνιδίου, καθ' ὃ ἐῤῥίπτετο ἐκ τοῦ ποτηρίου τὸ ὑπόλοιπον τοῦ οἴνου εἰς λεκάνην οὕτως, ὥστε νὰ κάμνῃ ὅσον τὸ δυνατὸν μεγαλείτερον κρότον. Τοῦτο δ' ἐγίνετο συνήθως εἰς ἐνθύμησιν φίλων.—*Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ*] εὔχεται καὶ προλέγει διὰ τούτου ὁ Θηρ. ὅτι καὶ ὁ Κριτίας θὰ πάθῃ τὰ αὐτά,—*τῷ καλῷ*] εἰρωνικῶς ἐνταῦθα.—*ταῦτα ἀποφθέγματα*] τὸ ταῦτα ὑποκ. τὸ δὲ ἀποφθέγματα κατηγ.— *ἐκεῖνο*] τὸ ἑξῆς.—*ἀγαστόν*] ἐκ τοῦ ἄγαμαι, ἄξιον θαυμασμοῦ. —*τοῦ θανάτου παρεστηκότος*]=καίτοι παρειστήκει ὁ θάνατος.—*τὸ φρόνιμον*]=τὴν φρόνησιν.—*τὸ παιγνιῶδες*] τὴν ἀστειότητα.

Κεφ. Δ.΄ § 1. *ὡς ἐξόν*] αἰτ. ἀπόλυτος.—*ἦγον*] ἀπῆγον εἰς τὸ δεσμωτήριον πρὸς θάνατον.—*φευγόντων*] τῶν ἔξω τοῦ καταλόγου.—*ἐνέπλησαν κτλ.*] οἱ τριάκοντα. Κατὰ Διόδωρον πλέον τοῦ ἡμίσεως τῶν Ἀθηναίων εἶχον φύγῃ ἐξ Ἀθηνῶν.

§ 2. *Φυλή*] φρούριον μεταξὺ Κιθαιρῶνος καὶ Πάρνηθος ἀπέχον 100 στα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμενοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον καὶ ἐποίησαν μὲν οὐδέν,
3 τραύματα δὲ λαβόντες ἀπῆλθον. Βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκπολιορκήσειαν αὐτοὺς ἀποκλείσαντες τὰς ἐφόδους τῶν ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθὴς καὶ τῇ ὑστεραίᾳ. Οἱ δὲ νιφόμενοι ἀπῆλθον εἰς τὸ ἄστυ μάλα συχνοὺς τῶν σκευοφόρων ὑπὸ
4 τῶν ἐκ Φυλῆς ἀποβαλόντες. Γιγνώσκοντες δέ, ὅτι καὶ ἐκ τῶν ἀγρῶν λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν εἰς τὰς ἐσχατιὰς ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς τούς τε Λακωνικοὺς πλὴν ὀλίγων φρουροὺς καὶ
5 τῶν ἱππέων δύο φυλάς. Οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν χωρίῳ λασίῳ ἐφύλαττον. Ὁ δὲ Θρασύβουλος ἤδη συνειλεγμένων εἰς τὴν Φυλὴν περὶ ἑπτακοσίους λαβὼν αὐτοὺς καταβαίνει τῆς νυκτός· θέμενος δὲ τὰ ὅπλα ὅσον τρία ἢ
6 τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν ἡσυχίαν εἶχεν. Ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καί ἤδη ἀνίσταντο, ὅποι ἐδεῖτο ἕκαστος ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπποκόμοι ψήχοντες τοὺς

---

δίους ἀπ' Ἀθηνῶν.—*καὶ μάλα*] ὁ καὶ ἐπιτείνει τὴν σημασίαν τοῦ μάλα· ἐνῷ ἦτο καὶ πολὺ καλὸς καιρός.

§ 3. *ἀποτειχίζειν*] ν' ἀποκλείωσι διὰ τείχους.—*ὅπως ἐκπολιορκήσειαν αὐτοὺς*] ἵνα διὰ πολιορκίας γείνωσι κύριοι αὐτῶν.—*τὰς ἐφόδους*] τὰς ὁδοὺς δι' ὧν διήρχοντο εἰς αὐτοὺς τὰ τρόφιμα.—*ὑπὸ τῶν ἐκ Φυλῆς*] ὑπὸ τῶν περὶ Θρασύβουλον· τὸ ποιητικὸν αἴτιον τοῦ *ἀποβαλόντες*, ὅπερ ἔχει ἐνταῦθα παθητ. σημασίαν.

§ 4. *διαπέμπουσιν*] ἡ διὰ σημ. διανομήν. -*δύο φυλὰς*] τοὺς ἱππεῖς δύο φυλῶν· ὁ στρατὸς τῶν Ἀθην. διῃρεῖτο κατὰ φυλάς·—*ἐν χωρίῳ λασίῳ*] ἐν Ἀχαρναῖς κατὰ Διόδωρον. *λάσιος* ἐπὶ τόπου σημ. κατάφυτος.

§ 5. *περὶ ἑπτακοσίους*] ὑποκμ. τοῦ *συνειλεγμένων*. — *θέμενος τὰ ὅπλα*] στρατοπεδεύσας.—*ἀπὸ τῶν φρουρῶν*] μακρὰν τῶν φρουρῶν τῶν Λακωνικῶν.

§ 6. *πρὸς ἡμέραν ἐγίγνετο*] ἀπροσώπως.—*ἀνίσταντο ὅποι*] κατὰ βραχυλογίαν ἀντὶ ἀνιστάμενοι ᾔεσαν ὅποι.—*ἀπὸ τῶν ὅπλων*]=ἀπὸ τοῦ στρατο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἵππους ψόφον ἐποίουν, ἐν τούτῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ ὅπλα δρόμῳ προσέπιπτον· καὶ ἔστι μὲν οὓς αὐτῶν κατέβαλον, πάντας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια καὶ ἀπέκτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατόν, τῶν δὲ ἱππέων Νικόστρατόν τε τὸν καλὸν ἐπικαλούμενον καὶ ἄλλους δὲ δύο ἔτι καταλαβόντες ἐν ταῖς εὐναῖς. Ἐπαναχωρήσαντες δὲ καὶ τροπαῖον στησάμε- 7
νοι καὶ συσκευασάμενοι ὅπλα τε, ὅσα ἔλαβον, καὶ σκεύη ἀπῆλθον ἐπὶ Φυλῆς. Οἱ δὲ ἐξ ἄστεως ἱππεῖς βοηθήσαντες τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον, προσμείναντες δέ, ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες, ἀνεχώρησαν εἰς ἄστυ. Ἐκ δὲ τούτου οἱ τριάκοντα οὐκέτι νομίζοντες ἀσφαλῆ 8
σφίσι τὰ πράγματα ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγήν, εἰ δεήσειε. Καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν ἦλθον εἰς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα· ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι φάσκοντες εἰδέναι βούλεσθαι, πόσοι εἶεν καὶ πόσης φυλακῆς προσδεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δὲ ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν ἐξιέναι. Ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ ἔνθεν κατέστησαν, τὸν δ' ἐξιόντα ἀεὶ οἱ ὑπηρέται συνέδουν.

---

πέδου. — ψήχοντες] ξυστρίζοντες. — ἐν τούτῳ] τῷ χρόνῳ, τότε. — ἀναλαβόντες...τὰ ὅπλα] τὸ ἀντίθετον εἶναι θέμενοι τὰ ὅπλα. — δρόμῳ] τροπικὴ δοτ. =δρομαῖοι, τρέχοντες. — ἔστι μὲν οὓς] κατ' ἔλλειψιν ἐκ τοῦ ἔστι τινὲς οὓς=τινάς. — ἔτι...ἐν ταῖς εὐναῖς] ἐνν. ὄντας.

§ 7. βοηθήσαντες] τρέξαντες εἰς βοήθειαν, ἀφοῦ ἦλθεν εἰς Ἀθήνας ἡ ἀγγελία τῆς προσβολῆς τῶν περὶ Θρασύβουλον. — οἱ προσήκοντες] οἱ συγγενεῖς. — ἀνεχώρησαν] ἐπέστρεψαν.

§ 8. ἐξιδιώσασθαι] ἰδίαν ποιήσασθαι. — ὥστε εἶναι] ὥστε νὰ ἔχωσιν. — εἰ δεήσειε] ἡ ἀπόδοσις, εἶναι σφίσι καταφυγήν. — παραγγείλαντες] ἐνν. ἐλθεῖν. — ἐξέτασιν] ἐπιθεώρησιν τῶν Ἐλευσινίων. — ἐν τοῖς ἱππεῦσι] ὑπὸ τὴν



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐπεὶ δὲ πάντες συνειλημμένοι ἦσαν, Λυσίμαχον τὸν ἵππαρχον ἐκέλευον ἀναγαγόντα παραδοῦναι αὐτοὺς τοῖς ἕν-
9 δεκα. Τῇ δ' ὑστεραίᾳ εἰς τὸ Ὠδεῖον παρεκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλλους ἱππέας. Ἀναστὰς δὲ Κριτίας ἔλεξεν· Ἡμεῖς, ἔφη, ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πολιτείαν ἢ ἡμῖν αὐτοῖς. Δεῖ οὖν ὑμᾶς, ὥσπερ καὶ τιμῶν μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. Τῶν οὖν συνειλημμένων Ἐλευσινίων καταψηφιστέον ἐστίν, ἵνα ταὐτὰ ἡμῖν καὶ θαῤῥῆτε καὶ φοβῆσθε. Δείξας δέ τι χωρίον εἰς τοῦτο ἐκέλευε φανερὰν φέρειν
10 τὴν ψῆφον. Οἱ δὲ Λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τοῦ Ὠδείου ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολιτῶν, οἷς τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς περὶ χιλίους ἤδη συνειλεγμένους ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν Πειραιᾶ. Οἱ δὲ τριάκοντα ἐπεὶ ᾔσθοντο ταῦτα, εὐθὺς ἐβοήθουν σύν τε τοῖς Λακωνικοῖς καὶ σὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κατὰ τὴν εἰς τὸν Πει-

---

φυλακὴν τῶν ἱππέων.—*ἐξιέναι*] ἐκ τοῦ ἐκέλευον.—*ἀεὶ*] ἑκάστοτε.—*ἀναγαγόντα*] εἰς Ἀθήνας.—*τοῖς ἕνδεκα*] ἰδὲ § 1, 7: 10.

§ 9. *τὸ Ὠδεῖον*] ὑπὸ Περικλέους κτισθὲν ὅμοιον θεάτρῳ μεσημβρινοανατολικῶς τῆς Ἀκροπόλεως, ἐστεγασμένον ἐν σχήματι περσικῆς σκηνῆς, χρησιμεῦον ἰδίως εἰς ἀγῶνας μουσικούς· ἐνταῦθα χρησιμεύει καὶ ὡς δικαστήριον.—*καὶ τοὺς ἄλλους ἱππέας*] καὶ τοὺς ἄλλους, οἵτινες ἦσαν ἱππεῖς.—*οὐδὲν ἧττον ὑμῖν ἢ ἡμῖν αὐτοῖς*] ὄχι ὀλιγώτερον διὰ σᾶς παρὰ διὰ τὸν ἑαυτόν μας· αἱ δοτ. εἶναι χαριστικαί· ἰδὲ συντακτ. § 14, 1, σημ.—*καταψηφιστέον ἐστὶν*]=δεῖ καταψηφίζεσθαι (πρέπει νὰ καταδικάσητε)· ἰδὲ συντακτ. § 39, 2.—*ταὐτὰ ἡμῖν*]=τὸ αὐτὸ θάῤῥος καὶ τὸν αὐτὸν φόβον μὲ ἡμᾶς· ἰδὲ συντακτ. § 12, 6.—*φανερὰν*] κατηγορούμενον τοῦ ψῆφον.

§ 10. *τῶν πολιτῶν*] δηλ. τῶν 3000· γεν διαιρετικὴ τοῦ οἷς.—*οἷς... ἔμελεν*] οἱ ὁποῖοι ἐφρόντιζον.—*ἐκ δὲ τούτου*] μετὰ δὲ ταῦτα.—*κατὰ τὴν*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ραιᾶ ἁμαξιτὸν ἀναφέρουσαν. Οἱ δὲ ἀπὸ Φυλῆς ἔτι μὲν 11
ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς, ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖσθαι οὔπω πολλοῖς οὖσι, συνεσπειράθησαν ἐπὶ τὴν Μουνιχίαν. Οἱ δ' ἐκ τοῦ ἄστεως εἰς τὴν Ἱπποδάμειον ἀγορὰν ἐλθόντες πρῶτον μὲν συνετάξαντο, ὥστε ἐμπλῆσαι τὴν ὁδόν, ᾗ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνιχίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων.
Οὕτω δὲ συντεταγμένοι ἐχώρουν ἄνω. Οἱ δὲ ἀπὸ Φυλῆς 12
ἀντενέπλησαν μὲν τὴν ὁδόν, βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλίτας ἐγένοντο. Ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι. Οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγένοντο. Ἐν ᾧ δὲ προσῇσαν οἱ ἐναντίοι, Θρασύβουλος τοὺς μεθ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας καὶ αὐτὸς

---

ἁμαξιτὸν] ἐνν. ὁδόν, ἥτις κατὰ τὸν κ. Γ. Ζαννέτον ἦτο κατὰ τὴν νῦν Λάκκαν τοῦ Βάβουλα. Τὸ δ' ἐπίθ. ἁμαξιτὸς γίνεται ἐκ τοῦ ἅμαξα καὶ τοῦ ῥηματικοῦ ἐπιθέτου ιτὸς τοῦ εἶμι (πορεύομαι), καὶ λοιπὸν σημαίνει ὁδός, διὰ τῆς ὁποίας δύνανται νὰ πορεύωνται ἅμαξαι.

§ 11. ἔτι] χρόνον τινά.—*μὴ ἀνιέναι*] ἀπαρ. τοῦ ἀνίημι· νὰ μὴ ἀφήσωσιν αὐτοὺς ν' ἀναβῶσιν.—*ὁ κύκλος*] τὸ πέριξ τοῦ Πειραιῶς τεῖχος.—*Μουνιχία*] λόφος εἰς τὸ ἀνατολικὸν μέρος τοῦ Πειραιῶς (νῦν Καστέλλα) καὶ ὁ ὑποκάτω αὐτοῦ λιμὴν ὁμοίως λέγεται Μουνιχία.—*Ἱπποδάμειον ἀγορὰν*] οὕτως ὠνομάσθη ἡ ἀγορὰ τοῦ Πειραιῶς ἐκ τοῦ Ἱπποδάμου τοῦ Μιλησίου, ὅστις ἐπὶ Περικλέους ἐρρυμοτόμησε τὸν Πειραιᾶ καὶ ἐκόσμησε τὴν ἀγοράν. Ἔκειτο δὲ κατὰ τὸν αὐτὸν κ. Γ. Ζαννέτον μεταξὺ τῶν ὁδῶν Ἀθηνᾶς καὶ Τσαμαδοῦ παρὰ τὴν πλατεῖαν Δηλιγιάννη.—*Βενδίδειον*] ναὸς τῆς Βενδῖδος Ἀρτέμιδος, θεᾶς Θρακικῆς.

12. *ἐπ' αὐτοῖς*] ὄπισθεν αὐτῶν.—*πελτοφόροι*] πελτασταί· ἰδὲ § 1, 2, 1.—*πετροβόλοι*] σφενδονῆται ῥίπτοντες πέτρας.—*προσεγένοντο*] ἐνν. τὸ ἡγούμενον οὗτοι.—*θέσθαι τὰς ἀσπίδας*]=καταθέσθαι, νὰ βάλωσι κάτω.—*καὶ αὐτὸς θέμενος*] ἐνν. τὴν ἑαυτοῦ ἀσπίδα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θέμενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς ἔλεξεν·
13 "Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ ἀναμνῆσαι ὑμῶν βούλομαι, ὅτι εἰσὶ τῶν προσιόντων οἱ μὲν τὸ δεξιὸν ἔχοντες, οὓς ὑμεῖς ἡμέραν πέμπτην τρεψάμενοι ἐδιώξατε, οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗτοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν οὐδὲν ἀδικοῦντας καὶ οἰκιῶν ἐξήλαυνον καὶ τοὺς φιλτάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο· ἀλλὰ νῦν τοι παραγεγένηνται, οὗ οὗτοι μὲν
14 οὔποτε ᾤοντο, ἡμεῖς δὲ ἀεὶ ηὐχόμεθα. Ἔχοντες γὰρ ὅπλα μὲν ἐναντίοι αὐτοῖς καθέσταμεν· οἱ δὲ θεοί, ὅτι ποτὲ καὶ δειπνοῦντες συνελαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυγαδευόμεθα, νῦν φανερῶς ἡμῖν συμμαχοῦσι. Καὶ γὰρ ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν συμφέρῃ, καὶ ὅταν ἐγχειρῶμεν, πολλῶν ὄντων ἐναντίων
15 ὀλίγοις οὖσι τροπαῖα ἵστασθαι διδόασι· καὶ νῦν δὲ κεκο-

---

§ 13. *εἰσὶ . . . τῶν προσιόντων*] ἡ σύνταξις εἶναι: *τῶν προσιόντων* (γεν. διαιρετ. ἐκ τοῦ) *οἱ μὲν τὸ δεξιὸν* (κέρας) *ἔχοντές εἰσιν* ἐκεῖνοι), *οὓς ὑμεῖς ἐδιώξατε* (κατεδιώξατε, ἐκυνηγήσατε).—*ἡμέραν πέμπτην*] πρὸ τεσσάρων ἡμερῶν καὶ ἡ σήμερον εἶναι πέμπτη. Ἡ ὁμιλουμένη λέγει *εἶναι τώρα πέντε ἡμέραι*.—*εὐωνύμου*] ἐνν. κέρως· εἰς τὴν ἀριστερὰν πτέρυγα.—*οὗτοι οἱ δὴ τριάκοντα*] αὐτοὶ δὰ εἶναι οἱ τριάκοντα.—*ἀπεσημαίνοντο*] ἐδήμευον τοὺς φιλτάτους ἡμῶν, μετὰ πικρίας λεγόμενον ἀντὶ προέγραφον ἢ κατεδίκαζον εἰς θάνατον· τουτέστι μετεχειρίζοντο τοὺς ἀνθρώπους ὡς πράγματα· διότι τὸ ἀποσημαίνεσθαι=δημεύειν, λέγεται περὶ πραγμάτων κυρίως.—*οὗ*]=ἐκεῖ ὅπου.—*οὔποτε ᾤοντο*] ἐνν. παραγενέσθαι ἄν.—*ηὐχόμεθα*] παραγενέσθαι.

§ 14. *ὅτι*]=διότι.—*ἀγοράζοντες*] ἐν τῇ ἀγορᾷ διατρίβοντες.—*οἱ δὲ*] τινὲς δέ.—*οὐχ ὅπως ἀδ.*]=οὐ μόνον οὐκ ἀδικοῦντες.—*καὶ γὰρ ἐν εὐδίᾳ*] διότι καὶ ἐν εὐδίᾳ ἡμέρᾳ κτλ. ἰδὲ § 3.—*ὀλίγοις οὖσιν*] ἡμῖν, ἐκ τοῦ διδόασι.

§ 15. *ὑπέρ*]=ὑπεράνω.—*ὄρθιον ἰέναι*] διότι πορεύονται εἰς ἀνήφορον·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μίκασιν ἡμᾶς εἰς χωρίον, ἐν ᾧ οὗτοι μὲν οὔτε βάλλειν
οὔτε ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων διὰ τὸ πρὸς ὄρ-
θιον ἰέναι δύναιντ᾽ ἄν, ἡμεῖς δὲ εἰς τὸ κάταντες καὶ δό-
ρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους ἐξιξόμεθά τε αὐτῶν
καὶ πολλοὺς κατατρώσομεν. Καὶ ᾤετο μὲν ἄν τις δεήσειν 16
τοῖς γε πρωτοστάταις ἐκ τοῦ ἴσου μάχεσθαι· νῦν δέ, ἂν
ὑμεῖς, ὥσπερ προσήκει, προθύμως ἀφιῆτε τὰ βέλη, ἁμαρ-
τήσεται μὲν οὐδείς, ὧν γε μεστὴ ἡ ὁδός, φυλαττόμενοι δὲ
δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ
τυφλοὺς καὶ τύπτειν, ὅπου ἂν βουλώμεθα, καὶ ἐναλλο-
μένους ἀνατρέπειν. Ἀλλ᾽, ὦ ἄνδρες, οὕτω χρὴ ποιεῖν, 17
ὅπως ἕκαστός τις ἑαυτῷ συνείσεται τῆς νίκης αἰτιώτατος
ὤν. Αὕτη γὰρ ἡμῖν, ἂν θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ
πατρίδα καὶ οἴκους καὶ ἐλευθερίαν καὶ τιμὰς καὶ παῖδας,
οἷς εἰσί, καὶ γυναῖκας. Ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν

---

διότι ἡ Μουνιχία ἦν λόφος.—*εἰς τὸ κάταντες*] εἰς τὸν κατήφορον· διότι ἦσαν ἐπὶ τοῦ λόφου· τὸ ἀντίθετον εἶναι ὄρθιον ἢ ἄναντες.—*ἐξιξόμεθα*] ἐξικνοῦμαι, θὰ φθάσομεν αὐτούς. — *κατατρώσομεν*] κατατιτρώσκω θὰ καταπληγώνωμεν.

§ 16. *ᾤετο ἄν τις*] θὰ ἐνόμιζέ τις.—*δεήσειν*] ἐνν. ἡμῖν, ὅτι θὰ γείνῃ ἀνάγκη εἰς ἡμᾶς.—*τοῖς γε πρωτοστάταις*] ἡ δοτ. ἐκ τοῦ *μάχεσθαι*· πρὸς τοὺς πρωτοστάτας τοὐλάχιστον τοῦ στρατοῦ τῶν 30.—*ἐκ τοῦ ἴσου*] ἐπὶ τόπου ἐνταῦθα.—*ὥσπερ προσήκει*] ἐνν. ἀφιέναι ἐκ τοῦ ἑπομένου *ἀφιῆτε*· σχῆμα ἐξ ἀναλόγου.—*ἁμαρτήσεται μὲν οὐδεὶς ὢν*]=ἁμαρτήσεται αὐτῶν, ὧν· οὐδεὶς θὰ ἀποτυγχάνῃ —*ὧν κτλ.*]=ἐπειδὴ τούτων· ἡ ἀναφορ. πρότασις ἔχει σημασίαν αἰτιολ. συντ. § 52, 2.—*δραπετεύσουσιν*] εἰρωνικῶς ἐνταῦθα· θὰ κρύπτωνται.—*ὥσπερ τυφλούς*] κατηγ. τοῦ αὐτούς, ὅπερ ἐνν. ἀντικ. τοῦ τύπτειν. Τυφλοὺς λέγει, διότι θὰ ἦναι κρυμμένοι ὑπὸ τὰς ἀσπίδας καὶ δὲν θὰ βλέπωσιν.—*ἐναλλομένους*] ἡμᾶς, ὑποκ. τοῦ ἀνατρέπειν αὐτούς· πηδῶντες, ἐφορμῶντες κατ᾽ αὐτῶν.

§ 17. *ὅπως . . . συνείσεται*] ἐκ τοῦ ποιεῖν· πλαγία ἐρώτησις· συντ. § 58, 6· τὸ ῥῆμα σύνοιδα.—*οἷς εἰσί*] ἐνν. παῖδες· εἰς ὅσους ἔχουσιν.—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*νικήσαντες ἐπίδωσι τὴν πασῶν ἡδίστην ἡμέραν. Εὐδαίμων δέ, καὶ ἂν τις ἀποθάνῃ· μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν καλοῦ τεύξεται. Ἐξάρξω μὲν οὖν ἐγώ, ἡνίκ' ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε πάντες ὁμοθυμαδόν, ἀνθ' ὧν ὑβρίσθημεν, τιμωρώμεθα τοὺς ἄνδρας.*

18 *Ταῦτα δ' εἰπὼν καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναντίους
ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγελλεν αὐτοῖς μὴ
πρότερον ἐπιτίθεσθαι, πρὶν τῶν σφετέρων ἢ πέσοι τις ἢ
τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται, ἡγησόμεθα μέν,
ἔφη, ἡμεῖς, νίκη δὲ ὑμῖν ἔσται ἑπομένοις, ἐμοὶ μέντοι θά-*
19 *νατος, ὥς γέ μοι δοκεῖ. Καὶ οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέ-
λαβον τὰ ὅπλα, αὐτὸς μὲν ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγό-
μενος ἐκπηδήσας πρῶτος ἐμπεσὼν τοῖς πολεμίοις ἀπο-
θνῄσκει καὶ τέθαπται ἐν τῇ διαβάσει τοῦ Κηφισοῦ· οἱ δ'
ἄλλοι ἐνίκων καὶ κατεδίωξαν μέχρι τοῦ ὁμαλοῦ. Ἀπέθα-
νον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππό-
μαχος, τῶν δὲ ἐν Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ*

---

*ἐπίδωσι*] ὅσοι ἀπὸ ἡμᾶς ζήσωσι νὰ ἴδωσι.—*μνημείου κτλ.*] οὐδεὶς γὰρ πλούσιος ὢν (καὶ πλούσιος ἂν ἦναι) τεύξεται (θὰ ἐπιτύχῃ) μνημείου οὕτω (τόσον) καλοῦ.—*ἐξάρξω*] θὰ ἀρχίσω.—*παιᾶνα*] πολεμικὸν ᾆσμα, ἐμβατήριον.—*τὸν Ἐνυάλιον παρακαλέσωμεν*] τὸ αὐτὸ καὶ τῷ *Ἐνυαλίῳ ἐλελίζειν ἢ ἀλαλάζειν*· ἀφοῦ ἐπικαλεσθῶμεν τὸν Ἐνυάλιον. Μετὰ τὸ τέλος τοῦ παιᾶνος ἀνέκραζον τὸ πολεμικὸν *ἐλελεῦ ἢ ἀλαλὰ* καὶ ἀμέσως ἤρχιζον τὴν ἔφοδον. Ἐνυάλιος εἶναι ἐπίθετον τοῦ Ἄρεως, θεοῦ τοῦ πολέμου.—*ἀνθ' ὧν ὑβρίσθημεν*] δι' ὅσας ὕβρεις ὑπεφέραμεν.—*τιμωρώμεθα*] ἂς ἐκδικηθῶμεν.

§ 18. *ὁ μάντις*] τοῦ στρατοῦ· πάντοτε ἦν ἐν τῷ στρατῷ μάντις.—*πέσοι ἢ τρωθείη*]=φονευθῇ ἢ πληγωθῇ.—*τοῦτο γένηται*] δηλ. πέσῃ τις ἢ τρωθῇ.—*ἡμεῖς*] ἀντὶ ἐγώ, ὁ μάντις.—*ἑπομένοις*] ἐνν. ἐμοί.

§ 19. *Κηφισός*] ποταμὸς τῆς Ἀττικῆς πλησίον τῶν Ἀθηνῶν ἐκβάλλων εἰς Φάληρον.—*μέχρι τοῦ ὁμαλοῦ*] μέχρι τῆς πεδιάδος.—*τῶν ἐν Πειραιεῖ δέκα ἀρχόντων*] κατὰ Πλούταρχον (Λυσ. 15) «εὐθὺς δὲ καὶ τὰ περὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Γλαύκωνος, τῶν δ᾽ ἄλλων περὶ ἑβδομήκοντα. Καὶ τὰ μὲν ὅπλα ἔλαβον, τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν. Ἐπεὶ δὲ τοῦτο ἐγένετο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο.*
*Κλεόκριτος δὲ ὁ τῶν μυστῶν κῆρυξ μάλ᾽ εὔφωνος ὢν κα-* 20
*τασιωπησάμενος ἔλεξεν. Ἄνδρες πολῖται, τί ἡμᾶς ἐξελαύνετε ; τί ἀποκτεῖναι βούλεσθε ; ἡμεῖς γὰρ ὑμᾶς κακὸν μὲν οὐδὲν πώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων καὶ θυσιῶν καὶ ἑορτῶν τῶν καλλίστων καὶ συγχορευταὶ καὶ συμφοιτηταὶ γεγενήμεθα καὶ συστρατιῶται καὶ πολλὰ μεθ᾽ ὑμῶν κεκινδυνεύκαμεν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπὲρ τῆς κοινῆς ἀμφοτέρων*
*ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας. Πρὸς θεῶν πατρῴων* 21
*καὶ συγγενείας καὶ κηδεστίας καὶ ἑταιρίας, πάντων γὰρ τούτων πολλοὶ κοινωνοῦμεν ἀλλήλοις, αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα καὶ μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Α-*

---

τὴν πολιτείαν ἐκίνησε (Λύσανδρος) τριάκοντα μὲν ἐν ἄστει, δέκα δὲ ἐν Πειραιεῖ καταστήσας ἄρχοντας». — *σκυλεύω*] ἀφαιρῶ τὰ ὅπλα καὶ τὰ ἐνδύματα τῶν φονευθέντων ἐχθρῶν, ἅτινα λέγονται σκῦλα. — *προσιόντες*] προσερχόμενοι ἐξ ἀμφοτέρων τῶν στρατοπέδων.

§ 20. *ὁ τῶν μυστῶν κῆρυξ*] μύσται ἐλέγοντο οἱ μυούμενοι τὰ μικρὰ Ἐλευσίνια μυστήρια, οἱ δὲ μυούμενοι τὰ μεγάλα ἐλέγοντο *ἐπόπται* καὶ *ἔφοροι*. Οἱ ἱερεῖς οἱ τελοῦντες τὰ μυστήρια ταῦτα ἦσαν κυρίως 4, ὁ *ἱεροφάντης*, ὁ *ἱεροκῆρυξ*, ὁ *δᾳδοῦχος*, καὶ ὁ *ἐπὶ τοῦ βωμοῦ*, πάντες ἐκ τῆς οἰκογενείας τῶν Εὐμολπιδῶν καὶ τῶν Κηρύκων. — *κατασιωπησάμενος*] ἐνν. αὐτούς· ἀφοῦ ἐπέβαλε σιωπήν. — *τί*]=διὰ τί. — *μετεσχήκαμεν ἡμῖν ἱερῶν . . . θυσιῶν*] ἰδὲ συντ. § 15, δ΄, 1. — *πολλὰ κεκινδυνεύκαμεν*]=πολλοὺς κινδύνους κεκινδυνεύκαμεν.

§ 21. *παύσασθε ἁμαρτάνοντες*] παύω σημ. κάμνω ἄλλον νὰ παύσῃ, παύομαι=παύω ἐμαυτόν. — *ὀλίγου δεῖν πλείους*] σχεδὸν περισσοτέρους. —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*θηναίων ἐν ὀκτὼ μησὶν ἢ πάντες Πελοποννήσιοι δέκα ἔτη*
22 *πολεμοῦντες. Ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι οὗτοι τῶν πάντων αἴσχιστόν τε καὶ χαλεπώτατον καὶ ἀνοσιώτατον καὶ ἔχθιστον καὶ θεοῖς καὶ ἀνθρώποις πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. Ἀλλ' εὖ γε μέντοι ἐπίστασθε, ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθανόντων οὐ μόνον ὑμεῖς, ἀλλὰ καὶ ἡμεῖς ἔστιν οὓς πολλὰ κατεδακρύσαμεν.*

*Ὁ μὲν τοιαῦτα ἔλεγεν· οἱ δὲ λοιποὶ ἄρχοντες καὶ διὰ τὸ τοιαῦτα προσακούειν τοὺς μεθ' ἑαυτῶν ἀπήγαγον εἰς*
23 *τὸ ἄστυ. Τῇ δ' ὑστεραίᾳ οἱ μὲν τριάκοντα πάνυ δὴ ταπεινοὶ καὶ ἔρημοι συνεκάθηντο ἐν τῷ συνεδρίῳ· τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, πανταχοῦ διεφέροντο πρὸς ἀλλήλους. Ὅσοι μὲν γὰρ ἐπεποιήκεσάν τι βιαιότερον καὶ ἐφοβοῦντο, ἐντόνως ἔλεγον, ὡς οὐ χρείη καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο καὶ τοὺς ἄλλους ἐδίδασκον, ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πείθεσθαι οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. Καὶ τὸ τελευταῖον ἐψηφίσαντο ἐκείνους μὲν κατα-*

---

*ἐν ὀκτὼ μησίν*] ἀπὸ τοῦ Σεπτεμβρίου μέχρι τοῦ Ἀπριλίου τοῦ 404 π. Χρ. —*δέκα ἔτη*] 414—405 π Χρ. καὶ ἐννοεῖ τὸν Δεκελεικὸν πόλεμον.

§ 22. *ἐξόν*, αἰτ. ἀπόλυτος=εἰ καὶ ἐξῆν.—*τὸν αἴσχιστον . . . πόλεμον*] τὸν ἐμφύλιον.—*ἔστιν οὓς*]=τινάς· ἴδε § 6.—*πολλά*] σύστ. δάκρυα.—*οἱ δὲ λοιποὶ*] οἱ ζῶντες ἐκ τῶν 30.—*προσακούειν*] δηλ. ἐκτὸς τῆς ἥττης ἣν ὑπέστησαν, ἤκουον προσέτι οἱ μεθ' ἑαυτῶν τοιαῦτα

§ 23. *διεφέροντο*] εἶχον διάφορον γνώμην, ἐφιλονείκουν —*καὶ ἐφοβοῦντο*] καὶ διὰ τοῦτο ἐφοβ.—*καθυφίεσθαι*] νὰ ὑποχωρῶσιν.—*τοῖς ἐν Πειραιεῖ*] οὕτως ἢ οἱ ἐκ Πειραιῶς καλοῦνται οἱ ὀπαδοὶ τοῦ Θρασυβούλου, οἱ δημοκρατικοί, ἀφότου κατέλαβον τὸν Πειραιᾶ, ἐνῷ πρότερον καλεῖ αὐτούς, τοὺς ἀπὸ Φυλῆς.—*ὡς οὐδὲν δέοιντο τούτων τῶν κακῶν*] ὅτι οὐδεμίαν ἀνάγκην εἶχον νὰ ὑποφέρωσι ταῦτα τὰ κακά, τὰς συμφοράς.—*οὐκ ἔφασαν χρῆναι*]=ἔφασαν οὐ χρῆναι.—*ἐκείνους*] τοὺς 30.—*δέκα*] ὧν ἑκα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παῦσαι, ἄλλους δὲ ἑλέσθαι. Καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.

Καὶ οἱ μὲν τριάκοντα Ἐλευσῖνάδε ἀπῆλθον· οἱ δὲ δέκα 24
τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπιστούντων ἀλλήλοις σὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. Ἐξεκάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠιδείῳ τούς τε ἵππους καὶ τὰς ἀσπίδας ἔχοντες καὶ δι' ἀπιστίαν ἐφώδευον τὸ μὲν ἀφ' ἑσπέρας σὺν ταῖς ἀσπίσι κατὰ τείχη, τὸ δὲ πρὸς ὄρθρον σὺν τοῖς ἵπποις ἀεὶ φοβούμενοι, μὴ ἐπεισπέσειέν τινες αὐτοῖς
τῶν ἐκ τοῦ Πειραιῶς. Οἱ δὲ πολλοί τε ἤδη ὄντες καὶ παν- 25
τοδαποὶ ὅπλα ἐποιοῦντο οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύινα καὶ ταῦτα ἐλευκοῦντο. Πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες, οἵτινες συμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν ἔσεσθαι, ἐξῆσαν πολλοὶ μὲν ὁπλῖται πολλοὶ δὲ γυ-

στος ἐκαλεῖτο δεκαδοῦχος.—ἀπὸ φυλῆς] ἐξ ἑκάστης φυλῆς.

§ 24. Ἐλευσῖνάδε ἀπῆλθον] ἰδὲ § 8.—τῶν ἐν ἄστει] τῶν 3000.—ἵππαρχοι] ἦσαν δύο ἐν Ἀθήναις ἀρχηγοὶ τοῦ ἱππικοῦ ὑπακούοντες τοῖς 10 στρατηγοῖς· εἰς τοὺς ἱππάρχους ὑπήκουον δέκα φύλαρχοι, ἄρχοντες τοῦ ἱππικοῦ ἑκάστης φυλῆς.—ἐπεμέλοντο] οἱ δέκα σὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο τῶν ἐν ἄστει καὶ μάλα τεταραγ. καὶ ἀπιστ. ἀλ.—ἐξεκάθευδον] ἐκοιμῶντο ἔξω, ὅθεν ἔκαμνον νυκτοφυλακάς.—ἐν τῷ Ὠιδείῳ] ἰδὲ § 9.—τὸ ἀφ' ἑσπέρας . . . τὸ πρὸς ὄρθρον] τὰ ἐμπρόθετα μετὰ τοῦ ἄρθρου λαμβάνονται ὡς ἐπιρρήματα.—σὺν ταῖς ἀσπίσι] δηλ. πεζοὶ τὴν νύκτα, τὴν δὲ ἡμέραν σὺν τοῖς ἵπποις δηλ. ὡς ἱππεῖς.

§ 25. Οἱ δὲ] οἱ ἐκ τοῦ Πειραιῶς.—οἰσύινα] ἐξ οἰσύας, λυγαριᾶς —ἐλευκοῦντο ἐκάλυπτον διὰ λευκοῦ περικαλύμματος, ἵνα διακρίνωνται αὐτοὶ ἀπὸ τοὺς ἀντιπάλους.—πρὶν δὲ δέκα ἡμέρας γενέσθαι] πρὶν παρέλθωσι δέκα ἡμέραι· ἰδὲ 1, 4, 7.—πιστὰ δόντες] δόντες ἐγγύησιν.—καὶ εἰ ξένοι εἶεν] καὶ ἂν ἀκόμη ἤθελον εἶναι ξένοι.—ἰσοτέλειαν ἔσεσθαι] ἐκ τοῦ πιστὰ δόντες ἐνν. αὐτοῖς. Ἰσοτέλεια ἢ ἰσοπολιτεία ἦν ἡ εἰς τοὺς ξένους ἀπονομὴ τῶν αὐτῶν σχεδὸν δικαιωμάτων, ἅτινα καὶ οἱ πολῖται εἶχον· οἱ δὲ ἀπολαύοντες αὐτῶν ἐλέγοντο ἰσοτελεῖς ἢ ἰσοπολῖται.—πολλοὶ μὲν . . . πολλοί

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μνῆτες· ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡσεὶ ἑβδομήκοντα· προνομὰς δὲ ποιούμενοι καὶ λαμβάνοντες ξύλα καὶ ὀπώ-
26 ραν ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. Τῶν δ' ἐκ τοῦ ἄστεως ἄλλος μὲν οὐδεὶς σὺν ὅπλοις ἐξῄει, οἱ δὲ ἱππεῖς ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ Πειραιῶς καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. Περιέτυχον δὲ καὶ τῶν Αἰξωνέων τισὶν εἰς τοὺς αὐτῶν ἀγροὺς ἐπὶ τὰ ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵππαρχος ἀπέσφαξε πολλὰ
27 λιτανεύοντας καὶ πολλῶν χαλεπῶς φερόντων ἱππέων. Ἀντιαπέκτειναν δὲ καὶ οἱ ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλίστρατον φυλῆς Λεοντίδος. Καὶ γὰρ ἤδη μέγα ἐφρόνουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεως προσέβαλλον. Εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ τοῦ ἐν τῷ ἄστει, ὃς ἐπεὶ ἔγνω, ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε πάντα ἁμαξιαίους λίθους ἄγειν καὶ καταβάλλειν, ὅπου ἕκαστος βούλοιτο τοῦ δρόμου. Ὡς δὲ τοῦτο ἐγένετο,

---

*δέ*] ἐπιμερισμὸς εἰς τὸ *οἱ δέ* συντ. § 18, 2, γ'. - *γυμνῆτες*]=ψιλοί· ἴδε 1, 1, 34.—*ὡσεί*] σχεδόν.—*προνομὰς ποιούμενοι*] ἐπιδρομάς.—*ὀπώραν*]= ὀπωρικά, μὲ περιληπτικὴν σημασίαν.

§ 26. *τῶν δ' ἐκ τοῦ ἄστεως*]=τῶν ἐν ἄστει ἐκ τοῦ ἄστεως. - *ἄλλος μὲν οὐδείς*] ἐκτὸς τῶν ἱππέων.—*ἔστιν ὅτε*]=ἐνίοτε· ἴδε § 6.—*Αἰξωνεῖς*] ἐκ τοῦ δήμου Αἰξώνης, ὅστις ἔκειτο πρὸς τὰ μεσημβρινὰ παράλια τῆς Ἀττικῆς.—*πολλά*]=πολλὰς λιτανείας σύστοιχος αἰτ.—*λιτανεύοντας*] ἐνῷ παρεκάλουν· ἐναντιωματικὴ μετοχή. Ἡ ὁμιλουμένη ἐφύλαξε μόνον τὸ παράγωγον οὐσ. *λιτανεία*.

§ 27. *τῶν ἱππέων*] γεν. διαιρετ. ἐκ τοῦ Καλλίστρατον.—*μέγα*] σύστοιχον ἀντκμ. τοῦ ἐφρόνουν. - *πρὸς τὸ τεῖχος*]=τῷ τείχει.=*εἰ δέ . . . δεῖ*] ἐνν. ὡς ἀπόδοσις ἐρῶ ἐκ τοῦ ἀνωτέρω εἰπεῖν.—*τοῦτο τοῦ μηχανοποιοῦ*) τὴν ἑξῆς πρᾶξιν τοῦ μηχανικοῦ.—*ὅς*]=οὗτος γάρ.—*Λύκειον*] ἴδε Α', α', 33.—*ἁμαξιαίους λίθους*] τόσον μεγάλους, ὥστε ἐχρειάζετο μία ἅμαξα, ἵνα μεταφέρῃ ἕκαστον αὐτῶν· ἴδε γραμματ. § 111, ιγ'.—*τοῦ δρόμου*] γεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε. Πεμπόν- 28
των δὲ πρέσβεις εἰς Λακεδαίμονα τῶν μὲν τριάκοντα ἐξ
Ἐλευσῖνος, τῶν δ᾽ ἐν τῷ καταλόγῳ ἐξ ἄστεως καὶ βοηθεῖν κελευόντων ὡς ἀφεστηκότος τοῦ δήμου ἀπὸ Λακεδαιμονίων Λύσανδρος λογισάμενος, ὅτι οἷόν τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν Πειραιεῖ κατά τε γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλεισθείησαν, συνέπραξεν ἑκατόν τε τάλαντα αὐτοῖς δανεισθῆναι καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστήν, Λίβυν δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκ-
πεμφθῆναι. Καὶ ἐξελθὼν αὐτὸς μὲν Ἐλευσῖνάδε συνέλε- 29
γεν ὁπλίτας πολλοὺς Πελοποννησίους· ὁ δὲ ναύαρχος κατὰ θάλατταν ἐφύλαττεν, ὅπως μηδὲν εἰσπλέοι αὐτοῖς τῶν ἐπιτηδείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πειραιεῖ, οἱ δ᾽ ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ τῷ Λυσάνδρῳ. Οὕτω δὲ προχωρούντων Παυσανίας ὁ βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο τὰς Ἀθήνας,
πείσας τῶν ἐφόρων τρεῖς ἐξάγει φρουράν. Συνείποντο δὲ 30
καὶ οἱ σύμμαχοι πάντες πλὴν Βοιωτῶν καὶ Κορινθίων·

---

διαιρετ. ἐκ τοῦ ὅπου.—*πράγματα παρεῖχε*] ἐνοχλήσεις, ἐμπόδια ἐπροξένει.

§ 28. *τῶν ἐν τῷ καταλόγῳ*] τῶν τρισχιλίων.—*ὡς ἀφεστηκότος τοῦ δήμου*] διότι οἱ δημοκρατικοὶ εἶχον ἀποστατήσῃ.—*ὅτι οἷόν τε εἴη*] ὅτι ἦτο δυνατόν.—*ταχύ*] ἐπίρρημα=ταχέως.—*ἐκπολιορκῆσαι*] διὰ πολιορκίας νὰ κυριεύσῃ.—*κατὰ γῆν*] διὰ ξηρᾶς· ἰδὲ συντακτ. § 21, δ΄, 2.—*εἰ ἀποκλεισθείησαν*] οἱ ἐν Πειραιεῖ.—*συνέπραξεν*] ἐνν. τοῖς πρέσβεσιν.—*ἁρμοστήν*] διοικητήν.

§ 29. *αὐτοῖς*] τοῖς ἐν Πειραιεῖ.—*αὖ*]=πάλιν· πλεονασμὸς χάριν ἐμφάσεως.—*ἐπὶ τῷ Λυσάνδρῳ*] διὰ τὸν Λύσανδρον.—*οὕτω δὲ προχωρούντων*] ἐνν. τῶν πραγμάτων· ἐνῷ δὲ τὰ πράγματα ἐπροχώρουν (*ἐπήγαιναν*) τοιουτοτρόπως (δηλ. καλῶς).—*εἰ . . . εὐδοκιμήσοι*] σημαίνει τὸ αἴτιον τοῦ φθονήσας.—*ἰδίας*]=οἰκείας, φιλικάς.—*φρουράν*] στράτευμα τακτικόν, ἐνῷ ὁ Λύσανδρος εἶχε μισθοφόρους· ἰδὲ § 30.

§ 30. *εὐορκεῖν ἂν στρατευόμενοι*]=εἰ στρατεύοιντο, οὐκ ἂν εὐορκοῖεν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὗτοι δὲ ἔλεγον μέν, ὅτι οὐ νομίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ᾽ Ἀθηναίους μηδὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι. Ὁ δὲ Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ καλουμένῳ πρὸς τῷ Πειραιεῖ δεξιὸν ἔχων κέρας, Λύσανδρος δὲ σὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον
31 [Ἐλευσῖνι]. Πέμπων δὲ πρέσβεις ὁ Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ ἐκέλευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δ᾽ οὐκ ἐπείθοντο, προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν ὅπως μὴ δῆλος εἴη εὐμενὴς αὐτοῖς ὤν. Ἐπεὶ δ᾽ οὐδὲν ἀπὸ τῆς προσβολῆς πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαιμονίων δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς φυλάς, παρῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα σκοπῶν, πῇ
32 εὐαποτειχιστότατος εἴη ὁ Πειραιεύς. Ἐπεὶ δὲ ἀπιόντος

(δὲν ἤθελον φυλάξῃ τοὺς ὅρκους των). – *παράσπονδον*]=παρὰ τὰς σπονδάς. —*ὅτι*] διότι.—*Ἁλίπεδον*] εἶναι ἡ παρὰ τὴν θάλασσαν μεταξὺ Ἀθηνῶν καὶ Πειραιῶς πεδιάς.– *πρὸς τῷ Πειραιεῖ*] πλησίον τοῦ Πειραιῶς.

§ 31. *ἐπὶ τὰ ἑαυτῶν*] εἰς τὰ ὑπάρχοντά των, *νὰ πᾶνε στὴ δουλειά τους*, δηλῶν διὰ τούτου, ὅτι δὲν εἶχε σκοπὸν νά τους βλάψῃ.—*ὅσον ἀπὸ βοῆς ἕνεκεν*] μὲ βοὴν μόνον καὶ ὄχι πραγματικῶς, δηλ. πρὸς τὸ θεαθῆναι. Κυρίως ἦσαν δύο φράσεις, *ὅσον ἀπὸ βοῆς καὶ βοῆς ἕνεκεν*, αἵτινες συνεχωνεύθησαν εἰς μίαν. Ἀνάλογον εἶναι τὸ τῆς ὁμιλουμένης *ὅσον διὰ τὰ μάτια*.—*ἀπὸ τῆς προσβολῆς*] διὰ τῆς προσβολῆς.—*πράξας*] κατορθώσας. — *δύο μόρας*] πάντες οἱ ἐνήλικες Σπαρτιᾶται διῃροῦντο εἰς ἓξ μόρας (τάγματα ἐκ 400=500 ἀνδρῶν). ἑκάστη τῶν ὁποίων διῳκεῖτο ἀπὸ ἕνα *πολέμαρχον* καὶ διῃρεῖτο εἰς 4 *λόχους*, ἕκαστος δὲ λόχος εἰς δύο *πεντηκοστῦς*, ἑκάστη δὲ πεντηκοστὺς εἰς δύο *ἐνωμοτίας*.—*τρεῖς φυλάς*] τοὺς στρατιώτας τριῶν φυλῶν.—*κωφὸν λιμένα*], ὅστις κατὰ τὸν κ. Γ. Ζαννέττον τώρα λέγεται λιμὴν τῶν Ἁλῶν, καὶ εἶναι ὁ πλησίον τοῦ σταθμοῦ τοῦ σιδηροδρόμου.—*σκοπῶν, πῇ εὐαποτειχιστότατος εἴη*] παρατηρῶν, εἰς ποῖον μέρος ἦτο εὐκολώτατον ν᾽ ἀποτειχισθῇ (ν᾽ ἀποκλεισθῇ διὰ τείχους) ὁ Πειραιεύς . . .

§ 32. *προσέθεον*] προσέτρεχον.—*ἐλᾶν*]=ἐλαύνειν.—*ἐνέντας*] ἐνν. τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτοῦ προσέθεόν τινες καὶ πράγματα αὐτῷ παρεῖχον, ἀ-
χθεσθεὶς παρήγγειλε τοὺς μὲν ἱππέας ἐλᾶν εἰς αὐτοὺς ἐνέν-
τας καὶ τὰ δέκα ἀφ' ἥβης συνέπεσθαι· σὺν δὲ τοῖς ἄλλοις
αὐτὸς ἐπηκολούθει. Καὶ ἀπέκτειναν μὲν ἐγγὺς τριάκοντα
τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς τὸ Πειραιοῖ
θέατρον. Ἐκεῖ δ' ἔτυχον ἐξοπλιζόμενοι οἵ τε πελτασταὶ 33
πάντες καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς. Καὶ οἱ μὲν ψιλοὶ
εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλλον, ἐτόξευον, ἐσφεν-
δόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ αὐτῶν πολλοὶ ἐτιτρώ-
σκοντο, μάλα πιεζόμενοι ἀνεχώρουν ἐπὶ πόδα· οἱ δ' ἐν
τούτῳ πολὺ μᾶλλον ἐπέκειντο. Ἐνταῦθα καὶ ἀποθνήσκει
Χαίρων τε καὶ Θίβραχος, ἄμφω πολεμάρχω, καὶ Λακρά-
της ὁ ὀλυμπιονίκης καὶ ἄλλοι οἱ τεθαμμένοι Λακεδαιμο-
νίων πρὸ τῶν πυλῶν ἐν Κεραμεικῷ. Ὁρῶν δὲ ταῦτα ὁ 34
Θρασύβουλος καὶ οἱ ἄλλοι ὁπλῖται ἐβοήθουν καὶ ταχὺ πα-
ρετάξαντο πρὸ τῶν Ἁλῶν ἐπ' ὀκτώ. Ὁ δὲ Παυσανίας
μάλα πιεσθεὶς καὶ ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ

---

ἵππους ἐκ τοῦ ἀνωτέρω ἱππέας· ἀφήσαντες τοὺς χαλινοὺς τῶν ἵππων. ἀπὸ ῥυτῆρος. — *τὰ δέκα ἀφ' ἥβης*· ἐνν. ἔτη· οἱ διανύοντες τὰ δέκα ἔτη τῆς στρατευσίμου ἡλικίας των, δηλ. 20—30 ἐτῶν. — *Πειραιοῖ*] τοπικὸν ἐπίρρημα. = ἐν Πειραιεῖ. — *θέατρον*] ἔκειτο εἰς τὴν δυτικὴν πλευρὰν τῆς Μουνιχίας κατὰ τὸ ἄκρον τῆς τωρινῆς ὁδοῦ Ἄρεως.

§ 33. *ἠκόντιζον, ἔβαλλον κλπ.*] σχῆμα ἀσύνδετον. — *ἐπὶ πόδα*] ὀπίσω χωρὶς νὰ στρέψωσιν εἰς τοὺς πολεμίους τὰ νῶτα. — *πολεμάρχω*] ἰδὲ § 31. — *Κεραμεικός*] τόπος πρὸς τὸ βορειοδυτικὸν μέρος τῶν Ἀθηνῶν παρὰ τὴν σήμερον ἁγίαν Τριάδα, ὅστις ἐχωρίσθη διὰ τῶν τειχῶν (τοῦ περιβόλου) τῆς πόλεως εἰς ἔσω καὶ ἔξω Κεραμεικόν. Ἐνταῦθα ἐννοεῖται ὁ ἔξω Κεραμεικός, ὅστις ἦτο τὸ κάλλιστον προάστειον τῆς πόλεως καὶ ἐν αὐτῷ ἐθάπτοντο δημοσίᾳ ὑπὸ τῆς πόλεως οἱ πίπτοντες ἐν τῷ πολέμῳ.

§ 34. *πρὸ τῶν Ἁλῶν*] Ἁλαὶ αἱ Αἰξωνίδες παράλιος δῆμος τῆς Ἀττικῆς πρὸς νότον τοῦ Φαλήρου ἔκειντο ἐν Πειραιεῖ κατὰ Γ. Ζαννέττον μεταξὺ τῶν σταθμῶν τῶν σιδηροδρόμων Ἀθηνῶν καὶ Πελοποννήσου, ὅπου τὰ νῦν λεγόμενα *Βοῦρλα*. Ἄλλος δῆμος ἦν Ἁλαὶ Ἀραφηνίδες εἰς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*πέντε πρὸς λόφον τινὰ παρήγγελλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις συμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. Ἐκεῖ δὲ συνταξάμενος παντελῶς βαθεῖαν τὴν φάλαγγα ἦγεν ἐπὶ τοὺς Ἀθηναίους. Οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς Ἁλαῖς πηλόν, οἱ δὲ ἐνέκλιναν· καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα*
35 *καὶ ἑκατόν. Ὁ δὲ Παυσανίας τροπαῖον στησάμενος ἀνεχώρησεν· καὶ οὐδ' ὣς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρᾳ πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ, οἷα χρὴ λέγοντας πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφόρους.Οἱ δ' ἐπείθοντο. διίστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους συλλεγομένους λέγοντας, ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες κοινῇ ἀμφότεροι Λακεδαιμονίοις φίλοι εἶναι.*
36 *Ἡδέως δὲ ταῦτα καὶ Ναυκλείδας ἔφορος ὢν συνήκουεν· ὥσπερ γὰρ νομίζεται σὺν βασιλεῖ δύο τῶν ἐφόρων συστρατεύεσθαι, καὶ τότε παρῆν οὗτός τε καὶ ἄλλος ἀμφότεροι τῆς μετὰ Παυσανίου γνώμης ὄντες μᾶλλον ἢ τῆς μετὰ*

---

τὰ ἀνατολικὰ παράλια τῆς Ἀττικῆς.—*εἰς χεῖρας ἐδέξαντο*] ἀφῆκαν τὸν Παυσανίαν νὰ πλησιάσῃ τόσον, ὥστε *ἦλθαν στὰ χέρια*.—*ἐξεώσθησαν*] ἀόρ. παθ. α'. τοῦ ἐξωθέομαι-οῦμαι· ἰδὲ γραμμτ. § 56, 1, β' καὶ § 93, 2.—*ἐνέκλιναν*] ἐτράπησαν εἰς φυγήν.

§ 35. *οὐδ' ὣς*]=οὐδ' οὕτως· καὶ οὕτω δὲν ὠργίζετο κατ' αὐτῶν.—*λάθρᾳ*] κρυφὰ ἀπὸ τοὺς ἐφόρους καὶ τὸν Λύσανδρον.—*οἷα χρὴ λέγοντας*] πλαγία ἐρώτησις ἐκ τοῦ ἐδίδασκεν.—*διίστη*] τοὺς ἔκαμνε νὰ διαιρεθῶσιν·—*τοὺς ἐν τῷ ἄστει*] τοὺς3000.—*πρὸς σφᾶς*] πρὸς ἑαυτούς, δηλ. πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφόρους.—*οὐδὲν δέονται*] δὲν ἔχουσιν ἀνάγκην, δὲν ἐπιθυμοῦσι.—*διαλυθέντες*] διαλύσαντες τὰς πρὸς ἀλλήλους διαφοράς, συμβιβασθέντες.—*φίλοι εἶναι*] ἐκ τοῦ δέονται νὰ ἦναι φίλοι.

§ 36. *ὥσπερ νομίζεται*]=ὥσπερ νόμος ἐστί. Κατὰ Ξνφ. Λακ. πολιτ. «πάρεισι δὲ καὶ τῶν ἐφόρων δύο, οἳ πολυπραγμονοῦσι μὲν οὐδέν, ἢν μὴ ὁ βασιλεὺς προσκαλῇ. Ὁρῶντες δὲ ὅ,τι ποιεῖ ἕκαστος πάντας σωφρονίζουσιν, ὡς τὸ εἰκὸς»·—*τῆς μετὰ Παυσανίου γνώμης ὄντες*] δύο φράσεις

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Λυσάνδρου. Διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προ-
θύμως ἔπεμπον τούς τ᾽ ἐκ τοῦ Πειραιῶς ἔχοντας τὰς
πρὸς Λακεδαιμονίους σπονδὰς καὶ τοὺς ἀπὸ τῶν ἐν ἄστει
ἰδιώτας, [καὶ] Κηφισοφῶντά τε καὶ Μέλητον. Ἐπεὶ μέν- 37
τοι οὗτοι ᾤχοντο εἰς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ
τοῦ κοινοῦ ἐκ τοῦ ἄστεως λέγοντας, ὅτι αὐτοὶ μὲν παρα-
διδόασι καὶ τὰ τείχη, ἃ ἔχουσι, καὶ σφᾶς αὐτοὺς Λακε-
δαιμονίοις χρῆσθαι, ὅ,τι βούλονται· ἀξιοῦν δ᾽ ἔφασαν καὶ
τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμονίοις,
παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνιχίαν. Ἀκού- 38
σαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλητοι ἐξέ-
πεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς Ἀθήνας καὶ ἐπέτα-
ξαν σὺν Παυσανίᾳ διαλλάξαι ὅπῃ δύναιντο κάλλιστα. Οἱ
δὲ διήλλαξαν, ἐφ᾽ ᾧτε εἰρήνην μὲν ἔχειν ὡς πρὸς ἀλλή-
λους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἕκαστον πλὴν τῶν τριά-
κοντα καὶ τῶν ἕνδεκα καὶ τῶν ἐν Πειραιεῖ ἀρξάντων δέκα.
Εἰ δέ τινες φοβοῖντο τῶν ἐξ ἄστεως, ἔδοξεν αὐτοῖς Ἐ-
λευσῖνα κατοικεῖν. Τούτων δὲ περανθέντων Παυσανίας 39
μὲν διῆκε τὸ στράτευμα, οἱ δ᾽ ἐκ τοῦ Πειραιῶς ἀνελθόν-

---

συνεπτυγμέναι εἰς μίαν, ἤτοι τῆς γνώμης Παυσ. ὄντες, καί, μετὰ Παυσ. ὄντες· οἵτινες ἦσαν μὲ τὴν *γνώμην τοῦ* Παυσανίου.—*τὰς σπονδάς*] τοὺς ὅρους δηλ. τῶν σπονδῶν.

§ 37. *οἱ ἀπὸ τοῦ κοινοῦ ἐκ τοῦ ἄστεως*] οἱ ἄρχοντες τῆς πόλεως, οἱ δέκα, κατ᾽ ἀντίθεσιν πρὸς τοὺς ἀνωτέρω ἰδιώτας.—*λέγοντας*] ἐνν. ἄνδρας. —*χρῆσθαι, ὅ,τι βούλονται*] ἥντινα χρῆσιν βούλονται· δηλ. ἄνευ ὅρων.

§ 38. *ἔκκλητοι*] εἶναι οἱ ἀποτελοῦντες τὴν λεγομένην *μικρὰν ἐκκλησίαν* τῆς Σπάρτης ἐκλεκτοὶ ὄντες.—*ὅπῃ*].=ὅπως.—*ἐφ᾽ ᾧτε*] ἐπὶ τῷ ὅρῳ. —*ἕνδεκα*] ἰδὲ 1, 7. 19.—*ἔδοξεν αὐτοῖς*] τοῖς Λακεδαιμονίοις καὶ Ἀθηναίοις.—*κατοικεῖν*] τὸ ὑποκ. τούτους, τοὺς φοβουμένους.

§ 39. *διῆκε τὸ στράτευμα*]=ἀπαγαγὼν τὸ στράτευμα διέλυσε κατὰ πόλεις ἑκάστους· 2, 3, 3.- *ἀνελθόντες*] ἐν πομπῇ καὶ ἔκτοτε ἐτέλουν τὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τες σὺν τοῖς ὅπλοις εἰς τὴν ἀκρόπολιν ἔθυσαν τῇ Ἀθηνᾷ. Ἐπεὶ δὲ κατέβησαν, [ἐκκλησίαν ἐποίησαν] οἱ στρατηγοί.

40 Ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν· Ὑμῖν, ἔφη, ὦ ἐκ τοῦ ἄστεως ἄνδρες, συμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. Μάλιστα δ᾿ ἂν γνοίητε, εἰ ἀναλογίσαισθε, ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστίν, ὥστε ἡμῶν ἄρχειν ἐπιχειρεῖν. Πότερον δικαιότεροί ἐστε; Ἀλλ᾿ ὁ μὲν δῆμος πενέστερος ὑμῶν ὢν οὐδὲν πώποτε ἕνεκα χρημάτων ὑμᾶς ἠδίκηκεν· ὑμεῖς δὲ πλουσιώτεροι πάντων ὄντες πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιήκατε. Ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέψασθε, εἰ ἄρα ἐπ᾿ ἀνδρείᾳ ὑμῖν μέγα

41 φρονητέον. Καὶ τίς ἂν καλλίων κρίσις τούτου γένοιτο ἢ ὡς ἐπολεμήσαμεν πρὸς ἀλλήλους; Ἀλλὰ γνώμῃ φαίητ᾿ ἂν προέχειν, οἳ ἔχοντες καὶ τεῖχος καὶ ὅπλα καὶ χρήματα καὶ συμμάχους Πελοποννησίους ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων παραλέλυσθε; Ἀλλ᾿ ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα φρονητέον εἶναι; Πῶς, οἵγε ὥσπερ τοὺς δάκνοντας κύνας κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κά-

---

ἡμέραν ταύτην (12ην Βοηδρομιῶνος=21 Σεπτεμβρ.) κατ᾿ ἔτος ἑορτὴν *χαριστήρια ἐλευθερίας* καλουμένην.—*τῇ Ἀθηνᾷ*] τῇ Πολιάδι, ἥτις ἦν ἡ προστάτρια τῆς πόλεως.—*κατέβησαν*] ἐκ τῆς ἀκροπόλεως καὶ ἦλθον εἰς τὴν Πνύκα.

§ 40. *ἔλεξεν*] ἐν τῇ ἐκκλησίᾳ.—*γνοίητε*] ὑμᾶς αὐτούς.—*ἄρχειν*] ἄρχοντας εἶναι. *ὑμῶν*] τῶν ἐκ τοῦ ἄστεως, τῶν ὀλιγαρχικῶν.—*ὢν*] ἂν καὶ εἶναι.—*δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει*] ὑμεῖς οὐδόλως μετέχετε δικαιοσύνης.—*εἰ ἄρα*] ἂν ἴσως, ἂν τυχόν· πλαγία ἐρώτησις ἐκ τοῦ σκέψασθε.

§ 41. *ἢ ὡς*] ἢ ἡ κρίσις (τὸ κρίνειν) ὡς ἐπολεμήσαμεν. ὡς=πῶς, πλαγία ἐρώτησις ἐκ τοῦ ἐννοουμένου *κρίνειν*.—*γνώμῃ*] κατὰ τὸ φρόνημα. —*παραλέλυσθε*] ἔχετε καταντήσῃ εἰς παράλυσιν, δὲν ἠδυνήθητε ν᾿ ἀντισταθῆτε·—*πῶς*] ἐνν. ἐπὶ τούτοις μέγα φρονητέον.—*τοὺς δάκνοντας . . . παραδιδόασιν*] κατά τινα νόμον τοῦ Σόλωνος (Πλουτρχ. Σόλ. 24).—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κεῖνοι ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ οἴχονται ἀποιόντες; Οὐ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγώ, 42
ὧν ὀμωμόκατε, παραβῆναι οὐδέν, ἀλλὰ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι εὔορκοι καὶ ὅσιοί ἐστε. Εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα καί, ὅτι οὐδὲν δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆσθαι, ἀνέστησε τὴν ἐκκλησίαν. Καὶ τότε μὲν ἀρχὰς καταστησάμενοι 43
ἐπολιτεύοντο· ὑστέρῳ δὲ χρόνῳ ἀκούσαντες ξένους μισθοῦσθαι τοὺς Ἐλευσῖνι στρατευσάμενοι πανδημεὶ ἐπ' αὐτοὺς τοὺς μὲν στρατηγοὺς αὐτῶν εἰς λόγους ἐλθόντας ἀπέκτειναν, τοῖς δὲ ἄλλοις εἰσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους ἔπεισαν συναλλαγῆναι. Καὶ ὀμόσαντες ὅρκους ἦ μὴν μὴ μνησικακήσειν ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

---

κλοιός] σιδηροῦς δεσμὸς περὶ τὸν τράχηλον τῶν σκύλων.—οἴχονται ἀπιόντες] πᾶνε, ἔφυγαν.

§ 42. ὑμᾶς] τοὺς ἐκ Πειραιῶς. Ὁ Θρασύβουλος στρέφει ἐνταῦθα τὸν λόγον πρὸς τοὺς φίλους του.—ὧν ὀμωμόκατε] καθ' ἕλξιν ἀντὶ οὐδὲν τούτων, ἃ ὀμωμόκατε.—τοῖς νόμοις τοῖς ἀρχαίοις] τοῖς πρὸ τῶν 30.—ἀνέστησε τὴν ἐκκλησίαν] διέταξε ν' ἀναστῶσιν οἱ ἐν τῇ ἐκκλησίᾳ καὶ ν' ἀπέλθωσιν. ὅθεν ἀνέστησε=διέλυσε.

§ 43. καὶ τότε] τῇ 12ῃ Βοηδρομιῶνος (21 Σεπτεμβρίου) 403 π. Χρ.—ἀρχὰς καταστησάμενοι] ἄρχων ἐπώνυμος ἐγένετο ὁ Εὐκλείδης, ἐφ' οὗ οἱ νόμοι τοῦ Σόλωνος ἀνεκαινίσθησαν·—ἐπολιτεύοντο] ἔζων ἐν ἐλευθέρᾳ πολιτείᾳ.—Ἐλευσῖνι] τοπικὸν=ἐν Ἐλευσῖνι.—τοῖς δὲ ἄλλοις] τῶν ἐκ τῆς πόλεως, οἵτινες ἠκολούθησαν τοὺς 30 εἰς Ἐλευσῖνα.—ἀναγκαίους] συγγενεῖς.—ὅρκους] σύστοιχον ἀντικ. τοῦ ὀμόσαντες. Ὁ δὲ ὅρκος ἦν οὗτος «καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενὶ πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα· οὐδὲ τούτων, ὃς ἂν ἐθέλῃ εὐθύνας διδόναι τῆς ἀρχῆς, ἧς ἦρξεν».—ἦ μὴν] βεβαιωτικὸν ἐπὶ ὅρκου.

8

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΞΕΝΟΦΩΝΤΟΣ

# ΚΥΡΟΥ ΠΑΙΔΕΙΑ

## ΒΙΒΛΙΟΝ Α΄

*Κεφ. Α΄. Ἡμεῖς μὲν ὡς ἄξιον ὄντα θαυμάζεσθαι τοῦτον τὸν ἄνδρα ἐσκεψάμεθα, τίς ποτ᾽ ὢν γενεὰν καὶ ποίαν τινὰ φύσιν ἔχων καὶ ποίᾳ τινὶ παιδείᾳ παιδευθεὶς τοσοῦτον διήνεγκεν εἰς τὸ ἄρχειν ἀνθρώπων. Ὅσα οὖν καὶ ἐπυθόμεθα καὶ ᾐσθῆσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διηγήσασθαι.*

*Κεφ. Β΄. Πατρὸς μὲν δὴ ὁ Κῦρος λέγεται γενέσθαι Καμβύσου Περσῶν βασιλέως· ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κλή-*

---

Κεφ. Α΄. § 1. *ἡμεῖς*]=ἐγώ.—*τοῦτον τὸν ἄνδρα (τὸν Κῦρον) ἐσκεψάμεθα,*
*τίς ποτ᾽ ὢν . . . διήνεγκεν*] σχῆμα προλήψεως ἀντὶ ἐσκεψάμεθα, τίς ποτ᾽
ὢν οὗτος ὁ ἀνήρ κλπ. δηλ. τὸ ὑποκείμενον τῆς ἐξηρτημένης ἐρωτήσεως
ἕλκεται ὑπὸ τῆς κυρίας καὶ μετατίθεται ὡς ἀντικμ.—*γενεάν*] κατὰ τὴν
γενεάν· συντ. § 27, 1.- *διήνεγκεν*] τὸ ῥ. διαφέρω.=ὑπερέχω.—*εἰς τὸ*
*ἄρχειν*] ὡς πρὸς τὸ ἄρχειν.—*ἐπυθόμεθα*] τὸ ῥ. πυνθάνομαι.—*ᾐσθῆσθαι*]
αἰσθάνομαι· ἔχομεν κατανοήσει καὶ ἐπομένως γνωρίζομεν.

Κεφ. Β΄. § 1. *πατρὸς . . . γένους . . . μητρὸς*] γεν. κατηγορηματικαὶ
σημαίνουσαι καταγωγήν· ἰδὲ συντ. § 3, 6.—*Καμβύσου*] ὅστις ἦτο ὑποτε-
λὴς εἰς τὸν βασιλέα τῶν Μήδων Ἀστυάγη.—*ἀπὸ Περσέως*] ἰδὲ συντ. § 30,
2, γ΄. Ὁ Περσεὺς ἦτο υἱὸς τοῦ Διὸς καὶ τῆς Δανάης, ὅστις ἐλθὼν εἰς
Αἰθιοπίαν πρὸς τὸν βασιλέα Κηφέα ἔλαβε γυναῖκα τὴν θυγατέρα αὐτοῦ
Ἀνδρομέδαν. Ἐξ αὐτῆς ἐγέννησεν υἱόν, ὅστις ὠνομάσθη *Πέρσης* καὶ ἐκ
τούτου ἔλαβον τὴν ἐπωνυμίαν οἱ *Πέρσαι*.—*κλήζονται*] φημίζονται, λέγον-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζονται· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος καὶ φιλομαθέστατος καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα. Φύσιν μὲν δὴ τῆς 2
μορφῆς καὶ τῆς ψυχῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις· οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελόμενοι, οὐκ ἔνθενπερ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται Αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτοῦ παῖδας καὶ αὐτοὺς τοὺς πρεσβυτέρους ὅπως ἐθέλουσι διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν μηδὲ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν, ὃν

ται.—*φῦναι*] ὅτι ἐκ φύσεως ἐγένετο.—*ᾄδεται*] ἐν τοῖς ᾄσμασιν ἐγκωμιάζεται.—*εἶδος*] κατὰ τὴν μορφήν.—*ἀνατλῆναι*] ὑπομεῖναι· λέξις ποιητική.—*τοῦ ἐπαινεῖσθαι ἕνεκα*] ἵνα ἐπαινῆται· ἰδὲ συντ. § 28, γ', 1.

§ 2. *τοιαύτην*] οἵαν εἶπεν ἀνωτέρω, δηλ. κάλλιστος (τὴν μορφήν, τὸ εἶδος), φιλανθρωπότατος, φιλομαθέστατος καὶ φιλοτιμότατος (τὴν ψυχήν).—*γε μήν*]=δέ, ἀπόδοσις τοῦ φύσιν μέν.—*ἐν τοῖς Περσῶν νόμοις*] κατὰ τοὺς νόμους, συμφώνως μὲ τούς νόμους τῶν Περσῶν.—*τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελ.*] δηλ. τῆς τῶν παίδων ἀνατροφῆς.—*οὐκ ἔνθενπερ*] οὐκ ἐντεῦθεν, ὅθεν.—*ἐν ταῖς πλείσταις πόλεσιν*] ἐκτὸς τῶν Λακεδαιμονίων καὶ τῶν Κρητῶν.—*ἀφεῖσαι*] τὸ ῥ. ἀφίημι· ἐνῷ ἄφησαν.—*τις*]=ἕκαστος.—*διάγειν*] ἐνν. τὸν βίον.—*ἔπειτα*]=ὅμως· τὸ εἶτα, ἔπειτα, τότε, οὕτως μετὰ μετοχὴν ἢ πρότασιν χρονικὴν ἔχουσι χρονικὴν ἅμα καὶ ἀντιθετικὴν σημασίαν.—*μή*] ἀπαγορευτικός.—*ὃν μὴ δίκαιον*] ἐνν. ἐστὶ παίειν· τὸ μὴ διὰ τὴν ὑποθετικὴν ἔννοιαν τῆς ἀναφορικῆς προτάσεως=εἴς τινα μὴ δίκαιον· ἰδέ συντ. § 52, 2.—*ζημίαν*] τιμωρίαν.—*αὐτοῖς*] κατὰ σύνεσιν σχῆμα, διότι ἀ. φέρεται εἰς τὸ ἡγούμενον τὶς ὅπερ εἶναι περιληπτικόν.—*ἐπέθεσαν*]=συνήθως τιθέασιν. γνωμικὸς ἀόρ. ἰδὲ συντ. § 37, 3.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ δίκαιον, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα
ὡσαύτως· ἦν δέ τις τούτων τι παραβαίνῃ, ζημίαν αὐτοῖς
ἐπέθεσαν. Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται,
3 ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πο-
νηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. Ἐπιμέλονται δὲ
ὧδε. Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες διά-
4 γουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο
ἔρχονται, ὥσπερ παρ' ἡμῖν, ὅτι γράμματα μαθησόμενοι.
Οἱ δ' ἄρχοντες αὐτῶν διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας
δικάζοντες αὐτοῖς. Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλή-
λους ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς
καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων, οἵων δὴ
εἰκός. Οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦν-
ται. Κολάζουσι δὲ καί, ὃν ἂν ἀδίκως ἐγκαλοῦντα εὑρί-
5 σκωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι
μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα,

§ 3. *ὅπως μὴ ἔσονται*] πλαγία ἐρώτησις· ἰδὲ συντ. § 58, 6.—*τὴν ἀρχὴν*]
ἐπίρ. ἐξ ἀρχῆς, διόλου.—*οἷοι*]=ὥστε —*ὧδε*] κατὰ τὸν ἑξῆς τρόπον.
§ 4. *διδασκαλεῖα*] σχολεῖα.—*διάγουσι μανθάνοντες*] διαρκῶς μανθάνουσι·
συντ § 45, 6', 2.—*ἐπὶ τοῦτο*] διὰ τὸν σκοπὸν τοῦτον πηγαίνουν εἰς τὰ
σχολεῖα, δηλ. νὰ μάθωσι δικαιοσύνην.—*παρ' ἡμῖν*] εἰς ἡμᾶς, δηλ. ἐδῶ
ἐν Ἑλλάδι.—*γράμματα μαθησόμενοι*] διὰ νὰ μάθωσι γράμματα πηγαίνουν
εἰς τὰ σχολεῖα.—*αὐτοῖς*] δοτ. χαριστική.—*ἐγκλήματα*] κατηγορίαι.—
*κλοπῆς κλπ.*] αἱ γεν. κλοπῆς, ἁρπαγῆς, βίας κλπ. εἶναι γεν. τοῦ αἰτίου,
δι' ὃ κατηγορεῖταί τις.—*οἵων δὴ εἰκός*] ἐνν. ἐστὶν ἐγκλήματα γίγνεσθαι.—
*οὓς δ' ἂν γνῶσι*] ὁσάκις γνωρίσωσί τινας· ἰδὲ συντ. § 52. 3.
§ 5. *κολάζουσι*] συνώνυμον τῷ τιμωροῦνται. Παρβλ. Ἀριστ. Ῥητ. 1,
10. «Διαφέρει δὲ τιμωρία καὶ κόλασις· ἡ μὲν γὰρ κόλασις τοῦ πάσχοντος
ἕνεκά ἐστιν, ἡ δὲ τιμωρία τοῦ ποιοῦντος, ἵνα ἀποπληρωθῇ».—*ὃν ἂν εὑ-
ρίσκωσιν*] ὁσάκις εὑρίσκωσί τινα.—*ἐγκλήματος*] δι' ἔγκλημα (κατηγορίαν)·
γεν. τῆς αἰτίας.—*δικάζονται*]=δικάζουσιν ἀλλήλους, κάμνουσι δίκην.—
*ἀχαριστίας*] ἐπεξήγησις τοῦ «ἐγκλήματος» ἰδὲ συντ. § 18, 2, 6'.—*ἰσχυ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. Οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ περὶ γονέας καὶ πατρίδα καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰχρὰ ἡγεμών. Διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· 6 μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτούς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες, καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν ἄρτον, ὄψον δὲ κάρδαμον, πιεῖν δέ, ἥν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ

---

ρῶς] αὐστηρῶς.—ἂν ἀμελῶς ἔχειν]=ὅτι ἀμελῶς ἂν ἔχοιεν· καὶ πρὸς τοὺς θεοὺς ἤθελον εἶναι ἀμελεῖς.—ἕπεσθαι δέ . . . καί] προσέτι δέ . . . καί.—καὶ γάρ] διότι καὶ πράγματι.—αὕτη] ἡ ἀχαριστία.—ἡγεμών] ὁδηγός.

§ 6. μέγα συμβάλλεται]=μεγάλην συμβολὴν συμβάλλεται· μεγάλως συντελεῖ.—ἀνὰ πᾶσαν ἡμέραν] καθ' ἑκάστην ἡμέραν, καθημερινῶς. πείθεσθαι] νὰ ὑπακούωσιν εἰς τοὺς ἄρχοντας, ἤτοι πειθαρχίαν.—ἰσχυρῶς] προσδιορισμὸς τοῦ πειθομένους, παρὰ πολύ, αὐστηρῶς.—γαστρός] φαγητοῦ.—ἀφῶσιν] αὐτούς· τὸ ῥ. ἀφίημι.—σιτοῦνται] τρέφονται.—σημήνωσι] διατάξωσιν.—φέρονται] μέσον ὠφελείας=φέρουσι δι' ἑαυτούς.—σῖτον] ὡς τροφήν· κατηγρμ.—ὄψον] ὡς προσφάγιον.—κώθωνα] ποτήριον.—ὡς ἀρύσασθαι] ἵνα ἀντλήσωσιν ὕδωρ.—ἀπὸ τοῦ ποταμοῦ] ἐννοεῖ τὸν Ἀράξην,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν, ἐκ τούτου δὲ εἰς τοὺς
7 ἐφήβους ἐξέρχονται. Οὗτοι δ' αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. Δέκα ἔτη, ἀφ' οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προειρήκαμεν, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι· παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται, ὑπὲρ τοῦ κοινοῦ. Καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα. ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. Ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν, ἔτι δὲ γέῤῥον καὶ παλτὰ δύο, ὥστε τὸ

---

ὅστις ῥέει πλησίον τῆς Περσεπόλεως.—*ἕξ*]=ἑξκαίδεκα ἢ ἑκκαίδεκα· ἰδὲ γραμμ. § 118, 8.—*ἀπὸ γενεᾶς*] ἀπὸ τῆς γεννήσεώς των.—*ἐκ τούτου*] μετὰ τοῦτο.—*εἰς τοὺς ἐφήβους ἐξέρχονται*] ἐξέρχονται ἐκ τῆς τάξεως τῶν παίδων καὶ εἰσέρχονται εἰς τὴν τάξιν τῶν ἐφήβων.

§ 7. *ἀφ' οὗ*] ἐνν. χρόνου=ἀφ' ὅτου.—*ἐκ παίδων*] ἐκ τῆς τάξεως τῶν παίδων.—*τὰ ἀρχεῖα*] τὰ οἰκήματα, εἰς ἃ διαμένουσιν οἱ ἄρχοντες.—*καὶ φυλακῆς ἕνεκα καὶ σωφροσύνης*] καὶ διὰ νὰ φυλάττωσι τὴν πόλιν καὶ διὰ νὰ ζῶσι σωφρόνως.—*χρῆσθαι*] ἐνν. αὐτοῖς.—*δέωνται*] ἐνν. χρῆσθαι αὐτοῖς ὁσάκις ἔχωσιν ἀνάγκην· συντ. § 57, 3.—*ὅταν δέῃ*] ἐνν. μένειν· ὁσάκις ἦναι ἀνάγκη· συντ. § 53, 2.—*ἐπὶ θήραν*] διὰ κυνήγιον.—*τὴν ἡμίσειαν τῆς φυλακῆς*]=τὸ ἥμισυ τῆς φυλακῆς, δηλ. τοὺς μισοὺς ἐφήβους, οἵτινες ἐφύλαττον τὴν πόλιν.—*τοῦτο*] δηλ. τὸ ἐξιέναι ἐπὶ θήραν καὶ ἐξάγειν τὴν ἡμίσειαν τῆς φυλακῆς.—*τοῦ μηνός*] ἑκάστου μηνός· ἰδὲ συντ. § 20, 1, α', 2.—*τοὺς ἐξιόντας*] ἐνν. ἐπὶ θήραν· τὸ ἄρθρον γενικὸν=πάντας.—*φαρέτραν*] βελοθήκην.—*κολεός*] θηκάρι.—*κοπίς*] μάχαιρα.—*σάγαρις*] πέλεκυς.—*γέῤῥον*] μικρὰ τετράγωνος ἀσπὶς πλεκτὴ ἐκ λύγων (ἀπὸ λυγαριαίς).—*παλτά*]=δόρατα, ἐκ τοῦ πάλλω.—*ἐκ χειρός*] ἀπὸ τὸ χέρι, ἐκ τοῦ πλησίον.—*ἀφεῖναι . . . χρῆσθαι*] ὁ ἀόρ. ἀφεῖναι σημαίνει τὸ ἅπαξ, ὁ δ' ἐνεστ. χρῆσθαι σημ. τὸ ἐπαναλαμβανόμενον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν ἀφεῖναι, τὸ δ᾽, ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. Διὰ τοῦτο 8
δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται καὶ βασιλεύς, ὥσπερ
καὶ ἐν πολέμῳ, ἡγεμών ἐστιν αὐτοῖς καὶ αὐτός τε θηρᾷ
καὶ τῶν ἄλλων ἐπιμέλεται, ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθε-
στάτη αὐτοῖς δοκεῖ εἶναι αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πό-
λεμον. Καὶ γὰρ πρῴ ἀνίστασθαι ἐθίζει καὶ ψύχη καὶ
θάλπη ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρό-
μοις, ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον καὶ ἀκοντίσαι, ὅπου
ἂν παραπίπτῃ. Καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θή-
γεσθαι, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν
μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ
τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν, τί ἐν τῇ θήρᾳ
ἄπεστι τῶν ἐν πολέμῳ παρόντων. Ἐξέρχονται δὲ ἐπὶ τὴν 9
θήραν ἄριστον ἔχοντες πλεῖον μέν, ὡς τὸ εἰκός, τῶν παί-
δων, τἆλλα δὲ ὅμοιον. Καὶ θηρῶντες μὲν οὐκ ἂν ἀρι-
στήσειαν, ἢν δέ τι δεήσῃ ἢ θηρίου ἕνεκα ἐπικαταμεῖναι
ἢ ἄλλως ἐθελήσωσι διατρῖψαι περὶ τὴν θήραν, τὸ οὖν

---

§ 8. *διὰ τοῦτο*] ἀναφέρεται εἰς τὰ ἑπόμενα: ὅτι ἀληθεστάτη κλπ.—*ἡγεμών*] ὁδηγός.—*τῶν ἄλλων*] σχῆμα προλήψεως ἀντὶ ἐπιμέλεται ὅπως ἂν οἱ ἄλλοι θηρῶσιν.—*ὅτι*]=διότι, ἐπεξήγησις τοῦ διὰ τοῦτο.—*μελέτη*] ἄσκησις, γυμνάσιον.—*καὶ γὰρ πρῴ*] διότι καὶ πρωΐ.—*ὅπου ἂν παραπίπτῃ*] ὅπου τυχαίνει, ὅπου παρουσιάζεται.—*ἀνάγκη θήγεσθαι*] ἐξ ἀνάγκης ἀκονίζεται, γίνεται θαῤῥαλεωτέρα.—*τῶν ἀλκίμων*] τῶν ἀνδρείων.—*τὸ ὁμόσε γιγνόμενον*] τὸ εἰς χεῖρας, πλησίον ἐρχόμενον, δηλ. τὸ ἐκ τοῦ πλησίον προσβάλλον.—*φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον*] νὰ προφυλαχθῇ δὲ ἀπὸ τὸ ἐρχόμενον ἐναντίον του (μακρόθεν.—*τί ἄπεστι*]=ὅ,τι. πολλάκις ἐν τῇ πλαγίᾳ ἐρωτήσει τίθενται τὰ ἐρωτηματικὰ τῆς εὐθείας ἐρωτήσεως, τίς, ποῖος, πόσος, πῶς, ποῦ, πότε κλπ. καὶ οὕτως ἡ ἐρώτησις γίνεται ζωηροτέρα καὶ ἐντονωτέρα.

§ 9. *ἄριστον*] τὸ περὶ τὴν μεσημβρίαν γεῦμα, *δεῖπνον* τὸ τῆς ἑσπέρας, καὶ *ἀκράτισμα* τὸ πρωϊνόν.—*ὡς τὸ εἰκός*] ἐνν. ἐστιν αὐτοὺς ἔχειν.—*τἆλλα δ᾽ ὅμοιον*] δηλ. κατὰ μὲν τὴν ποιότητα ὅμοιον, κατὰ δὲ τὴν ποσό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄριστον τοῦτο δειπνήσαντες τὴν ὑστεραίαν αὖ θηρῶσι μέ-
χρι δείπνου καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται,
ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ
ἐθίζεσθαι ἕνεκα, ἵν' ἐάν τι καὶ ἐν πολέμῳ δεήσῃ, δύνων-
ται τοῦτο ποιεῖν. Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦ-
τοι, ὅ,τι ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρδαμον. Εἰ δέ
τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον
ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν,
ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φα-
10 γεῖν, πῶς δὲ ἡδὺ ὕδωρ πιεῖν διψῶντι. Αἱ δ' αὖ μένουσαι
φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες
ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι
ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι
τούτων ἀγῶνες καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν φυλῶν
πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπι-
στότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν οὐ μόνον

---

τητα πλεῖον.—θηρῶντες]=εἰ θηρῷεν.—οὐκ ἂν ἀριστήσειαν]=οὐκ ἀρι-στῶσιν· ἀριστάω-ῶ καὶ ἀριστοποιοῦμαι ἐκ τοῦ ἄριστον=προγευματίζω.—ἄλλως] δι' ἄλλην αἰτίαν.—τὸ ἄριστον τοῦτο] τὸ φαγητὸν τῆς μεσημβρίας.—τὴν ὑστεραίαν] ἐνν. ἡμέραν.—σῖτον] τροφήν.—τοῦ ἐθίζεσθαι ἕνεκα] διὰ νὰ συνηθίζωσιν.—ἐὰν δεήσῃ] ἐνν. τοῦτο ποιεῖν.—τοῦτο] τὸ νὰ δαπανῶσι τὴν τροφὴν μιᾶς ἡμέρας εἰς δύο.—οἱ τηλικοῦτοι] οἱ ἔχοντες τὴν ἡλικίαν ταύτην, δηλ. οἱ ἔφηβοι· γραμμ. § 45.—εἰ δὲ μή] ἐνν. θηράσειάν τι.—τὸ κάρδαμον] ἐνν. ἔχουσιν ὄψον.—ἐσθίειν] γραμμ. § 97, 2.—ἐπὶ τῷ σίτῳ] μαζὶ μὲ τὸ ψωμί.—πῶς ἡδύ] πλαγία ἐρώτησις ζωηρότερον ἐκφερομένη διὰ τοῦ πῶς ἀντὶ τοῦ ὅπως· ἴδε καὶ § 8 τί ἄπεστι.—ἡδὺ μᾶζα] ἐνν. ἐστί· συντ. § 3, 5.

§ 10. μελετῶσαι] γυμναζόμεναι.—διαγωνιζόμενοι] σχῆμα κατὰ σύνεσιν ἢ κατὰ τὸ νοούμενον· διότι ἐνῷ ἀναφέρεται εἰς τὸ αἱ μένουσαι φυλαί, συμφωνεῖ μὲ τὴν ἔννοιαν αὐτοῦ οἱ ἔφηβοι τῶν μενουσῶν φυλῶν.—καὶ δημόσιοι] ἐκτὸς τῶν κατ' ἰδίαν.—τούτων] τῶν τε ἄλλων καὶ τοῦ τοξεύειν καὶ ἀκοντίζειν.—ἐν ᾗ δ' ἂν ὦσιν] συντ. § 52. 3.—δαημονέστατοι] λέξις ποιητική—ἐμπειρότατοι.—εὐπιστότατοι]=εὐπειθέστατοι.—ἀλλὰ καὶ ὅστις]=

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς παῖδας
ὄντας ἐπαίδευσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων
αἱ ἀρχαί, ἤν τι ἢ φρουρῆσαι δεήσῃ ἢ κακούργους ἐρευ-
νῆσαι ἢ λῃστὰς ὑποδραμεῖν ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος ἢ
τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν.
Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς 11
τοὺς τελείους ἄνδρας. Ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου,
οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε. Πρῶτον
μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς
χρῆσθαι, ἤν τι δέῃ, ὑπὲρ τοῦ κοινοῦ, ὅσα φρονούντων τε
ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. Ἢν δέ ποι δέῃ στρα-
τεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες
οὐδὲ παλτὰ στρατεύονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλού-
μενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέῤῥον ἐν τῇ ἀρι-
στερᾷ, οἷόνπερ γράφονται οἱ Πέρσαι ἔχοντες, ἐν δὲ τῇ
δεξιᾷ μάχαιραν ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τού-
των καθίστανται πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπει-
δὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν
ἂν οὗτοι πλεῖόν τι γεγονότες ἢ τὰ πεντήκοντα ἔτη ἀπὸ

---

ἀλλὰ καὶ τοῦτον, ὅστις.—*αἱ ἀρχαί*]=οἱ ἄρχοντες.—*ἐρευνῆσαι*] νὰ ζητήσωσι καὶ εὕρωσιν.—*ὑποδραμεῖν*] ὑποτρέχω· νὰ τρέξωσι διὰ νὰ συλλάβωσιν.—*καὶ ἄλλο τι*] ἐνν. ποιῆσαι.

§ 11. *τὰ δέκα ἔτη*] τὰ εἰρημένα ἐν § 7. - *διατελέσωσιν*] τελειώσωσιν.—*ἐξέρχονται εἰς τελείους ἄνδρας*] ἐξέρχονται ἐκ τῆς τάξεως τῶν ἐφήβων καὶ εἰσέρχονται εἰς τὴν τάξιν τῶν τελείων ἀνδρῶν.—*ὅσα ἔργα ἐστί*] ἀναφέρεται εἰς τὸ *τούτοις*, τὸ ὁποῖον ἐννοεῖται εἰς τὸ προηγούμενον χρῆσθαι.—*φρονούντων τε ἤδη καὶ ἔτι δυναμένων*] ἀνθρώπων οἵτινες εἶναι φρόνιμοι ἤδη καὶ ἔχουσιν ἀκόμη δυνάμεις.—*ἢν δέ ποι δέῃ*] ὁσάκις ἦναι ἀνάγκη.—*τὰ δ' ἀγχέμαχα*] ἀλλὰ τὰ λεγόμενα ἀγχέμαχα—τὰ δι' ὧν τις μάχεται ἐκ τοῦ πλησίον.—*θώρακα κλπ.*] ἐπεξήγησις τοῦ ἀγχέμαχα. *γράφονται*] ζωγραφίζονται. *εἶεν ἂν γεγονότες*] εὐκτ. ἀντὶ ὁριστ.—*τηνικαῦτα*] τότε.—*εἰς τοὺς γεραιτέρους*] εἰς τὴν τάξιν τῶν γεραιτέρων· γραμμ. § 38. 1.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄν-*
12 *τας τε καὶ καλουμένους. Οἱ δ᾽ αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ καὶ τὰ ἴδια πάντα. Καὶ θανάτου δὲ οὗτοι κρίνουσι καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστοι καὶ τῶν ἄλλων ὁ βουλόμενος, οἱ δὲ γεραίτεροι ἀκούσαντες ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμος διατελεῖ τὸν λοιπὸν βίον.*

1 *Κεφ. Γ΄. Κῦρος οὖν μέχρι μὲν δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον ταύτῃ τῇ παιδείᾳ ἐπεδεύθη καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν, ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουεν αὐτὸν καλὸν κἀγαθὸν εἶναι. Ἔρχεται δ᾽ αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν*
2 *ἔχουσα. Ὡς δὲ ἀφίκετο τάχιστα καὶ ἔγνω ὁ Κῦρος τὸν*

---

§ 12. *τῆς ἑαυτῶν*] γῆς ἢ χώρας.—*τά τε κοινὰ καὶ τὰ ἴδια*] τὰς κοινὰς (δηλ. τοῦ δημοσίου) δίκας καὶ τὰς ἰδιωτικάς.—*θανάτου*] γεν. τῆς ποινῆς. —*αἱροῦνται*] ἐκλέγουσιν.—*ἐλλίπῃ*] παραλίπῃ, δὲν ἐκτελέσῃ.—*φαίνουσι*] φανερώνουσι, καταμηνύουσιν.—*ὁ βουλόμενος*] πᾶς ὅστις θέλει.—*ἐκκρίνουσιν*] ξεχωρίζουσιν καὶ ἀποβάλλουσιν αὐτόν.—*ἄτιμος*] ἐστερημένος τὰ πολιτικὰ δικαιώματα.—*διατελεῖ*] ἐνν. ὤν.—*τὸν λοιπὸν βίον*] ἰδὲ συντ. § 26. 2.

Κεφ. Γ΄. § 1. *τῶν ἡλίκων*] τῶν ὁμηλίκων του.—*διαφέρων*] ὅτι ὑπερεῖχεν.—*εἰς τὸ μανθάνειν*] ὡς πρὸς τὸ μανθάνειν· συντ. § 27, 2.—*ταχύ*] ταχέως.—*ἃ δέοι*] ἐνν. μανθάνειν· ὅσα ἔπρεπε νὰ μανθάνῃ.—*ἕκαστα*] ἐνν. τῶν δεόντων ἐκ τοῦ ἀνωτέρω ἃ δέοι· σχῆμα ἐξ ἀναλόγου.—*ἐκ δὲ τούτου τοῦ χρόνου*] δηλ. μετὰ τὰ 12 ἔτη.—*μετεπέμψατο*] προσεκάλεσεν.—*ὅτι ἤκουεν*] διότι ἐμάνθανεν.—*ἔρχεται*] ἱστορικὸς ἐνεστ. ἰδὲ συντ. § 37, 1, 5.

§ 2. *ὡς δὲ ἀφίκετο τάχιστα*] εὐθὺς δὲ ἀφοῦ ἔφθασεν.—*οἷα δὴ ὤν*] ἐπειδὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς οἷα δὴ παῖς
φύσει φιλόστοργος ὢν ἠσπάζετό τε αὐτόν, ὥσπερ ἂν εἴ
τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ
ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ
καὶ χρώματος ἐντρίψει καὶ κόμαις προσθέτοις, ἃ δὴ νό-
μιμα ἦν ἐν Μήδοις· ταῦτα γὰρ πάντα Μηδικά ἐστι καὶ
οἱ πορφυροῖ χιτῶνες καὶ οἱ κάνδυες καὶ οἱ στρεπτοὶ οἱ
περὶ τῇ δέρῃ καὶ τὰ ψέλια τὰ περὶ ταῖς χερσίν, ἐν Πέρ-
σαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότε-
ραι καὶ δίαιται εὐτελέστεραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ
πάππου ἐμβλέπων αὐτῷ ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι
ὁ πάππος. Ἐρωτώσης δὲ αὐτὸν τῆς μητρός, πότερος καλ-
λίων αὐτῷ δοκεῖ εἶναι ὁ πατὴρ ἢ οὗτος, ἀπεκρίνατο ἄρα ὁ
Κῦρος. Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς
πατήρ, Μήδων μέντοι, ὅσων ἑόρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς
καὶ ἐπὶ ταῖς θύραις πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος.
Ἀντασπαζόμενος δὲ ὁ πάππος αὐτὸν καὶ στολὴν καλὴν 3
ἐνέδυσε καὶ στρεπτοῖς καὶ ψελίοις ἐτίμα καὶ ἐκόσμει καί,
εἴ ποι ἐξελαύνοι, ἐφ᾽ ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ
καὶ αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος ἅτε παῖς ὢν
καὶ φιλόκαλος καὶ φιλότιμος ἥδετο τῇ στολῇ καὶ ἱππεύειν
μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ διὰ τὸ χαλεπὸν

---

βέβαια ἦτο.—*ὥσπερ ἂν*] ἐνν. ἀσπάζοιτο.—*ὑπογραφῇ*] διὰ βαφῆς κάτωθεν τῶν ὀφθ.—*καὶ χρώματος ἐντρίψει*] δηλ. διὰ ψιμυθίου (μὲ φκιασίδι).—*κόμαις προσθέτοις*] μὲ ξένα μαλλιά.—*ἃ*] δηλ. ἡ ὑπογραφὴ τῶν ὀφθαλμῶν καὶ τοῦ χρώματος ἡ ἔντριψις καὶ αἱ κόμαι αἱ πρόσθετοι· ἐτέθη δὲ κατ᾽ οὐδ. γένος, ἂν καὶ ἀναφέρεται εἰς θηλυκὰ οὐσ. διότι ταῦτα εἶναι ἄψυχα.—*κάνδυς*] ἐπανωφόριον ἔχον πλατείας χειρίδας (μανίκια).—*στρεπτοί*] περιδέραια.—*δέρη*] λαιμός.=*ψέλια*] βραχιόλια.—*πολύ*] ἀναφέρεται εἰς τὸ φαυλότεραι καὶ εὐτελέστεραι.—*ἐμβλέπων αὐτῷ*] παρατηρῶν αὐτόν.—*ὡς καλὸς*] πόσον ὡραῖος.—*ἄρα*] εὐθύς.—*ὅσων*] καθ᾽ ἕλξιν ἀντὶ ὅσους.

§ 3. *εἴ ποι ἐξελαύνει*] ὁσάκις ἐξήρχετο· συντ. § 57. 3.—*ἅτε ὢν*] ἐπειδὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν ἐν ὀρεινῇ οὔσῃ τῇ
4 χώρᾳ καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν. Δειπνῶν δὲ δὴ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧττον τὰ οἴκαδε ποθοίη, προσῆγεν αὐτῷ καὶ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον ἔφασαν λέγειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάρια ταῦτα διατείνειν τὰς χεῖρας καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων. Τί δέ, φάναι τὸν Ἀστυάγην, οὐ γὰρ πολύ σοι δοκεῖ εἶναι κάλλιον τόδε τὸ δεῖπνον τοῦ ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι [λέγεται], Οὔκ, ὦ πάππε, ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι ἢ παρ' ὑμῖν· ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέα εἰς τοῦτο ἄγει, ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι μόλις
5 ἀφικνεῖσθε, ὅποι ἡμεῖς πάλαι ἥκομεν. Ἀλλ', ὦ παῖ, φάναι τὸν Ἀστυάγην οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα·

---

πράγματι ἦτο.—*ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ*] ἐπειδὴ ἡ χώρα εἶναι ὀρεινή.—*καὶ ἰδεῖν*] καὶ νὰ ἴδῃ τις κἂν· ὁ καὶ ἐλαττωτικός.

§ 4. *ἵνα ποθοίη*] συντ. § 55, 1.—*τὰ οἴκαδε*] ἀντὶ τὰ οἴκοι· διότι τὸ *τὰ οἴκαδε ποθοίη*=ποθῶν τα οἴκοι οἴκαδε ἀπιέναι βούλοιτο.—*παροψίδας*] ὀρεκτικὰ φαγητά, μεζέδες.—*ἐμβάμματα*] σάλτσαις.—*βρώματα*] φαγητά.—*ὅσα πράγματα*] πόσας ἐνοχλήσεις—*λεκάρια*]=λεκάνια, πιάτα.—*διατείνειν*] νὰ ἁπλώνῃς.—*φάναι*] ἐκ τοῦ ἀνωτέρω *φασίν*.—*οὔκ*] ἐνν. δοκεῖ μοι κάλλιον τόδε τὸ δεῖπνον τοῦ ἐν Πέρσαις.—*ἐμπλησθῆναι*] νὰ γεμίσωμεν τὴν κοιλίαν μας, νὰ χορτάσωμεν· τὸ ῥ. ἐμπίμπλαμαι· γραμμ. § 84. 2.—*εἰς τοῦτο*] τὸ ἐμπλησθῆναι.—*εἰς ταὐτὸν ἡμῖν*] εἰς τὸ ἴδιον μὲ ἡμᾶς, δηλ. τὸ ἐμπλησθῆναι.—*ἑλιγμούς*] σύστοιχον ἀντικμ. τοῦ πλανώμενοι. *ὅποι*] ὅπου, εἰς τὸ ἐμπλησθῆναι.—*πάλαι ἥκομεν*] πρὸ πολλοῦ ἔχομεν ἔλθῃ· ἰδὲ συντ. § 37, 1, σημ. 1.

§ 5. *ταῦτα περιπλανώμεθα*]=τούτους τοὺς ἑλιγμούς, ταύτας τὰς πλά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γευόμενος δὲ καὶ σύ, ἔφη, γνώσῃ, ὅτι ἡδέα ἐστίν. Ἀλλὰ
καὶ σέ, φάναι τὸν Κῦρον, ὁρῶ, ὦ πάππε, μυσαττόμενον
ταῦτα τὰ βρώματα. Καὶ τὸν Ἀστυάγην ἐπερέσθαι, Καὶ
τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, λέγεις; Ὅτι σε, φάναι,
ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀπο-
ψώμενον, ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαί-
ρει τὴν χεῖρα εἰς τὰ χειρόμακτρα ὡς πάνυ ἀχθόμενος, ὅτι
πλέα σοι ἀπ᾽ αὐτῶν ἐγένετο. Πρὸς ταῦτα δὲ τὸν Ἀστυά- 6
γην εἰπεῖν, Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα
γε εὐωχοῦ, ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. Ἅμα δὲ ταῦτα
λέγοντα πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια καὶ τῶν ἡ-
μέρων. Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν,
Ἦ καὶ δίδως, φάναι, ὦ πάππε, πάντα ταῦτά μοι τὰ
κρέα, ὅ,τι ἂν βούλωμαι αὐτοῖς χρῆσθαι; Νὴ Δία, φάναι,
ὦ παῖ, ἔγωγέ σοι. Ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν 7
κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς ἐπι-
λέγοντα ἑκάστῳ, Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύ-

---

νας.—*μυσαττόμενον*] ὅτι σιχαίνεσαι, ἀηδιάζεις.—*ἐπερέσθαι*] ἐκ τοῦ ἔφα-
σαν· μέσ. ἀόρ. 6 τοῦ ἐπερωτάω.—*καὶ τίνι δή*] καὶ ἀπὸ τί δά.—*τεκμαι-
ρόμενος*] συμπεραίνων.—*ὅτι*] διότι.—*ἀποψώμενον*] ὅτι σπογγίζεις.—*ὅταν
δὲ θίγῃς*] ὁσάκις δὲ ἐγγίζῃς.—*χειρόμακτρα*] πετσέταις· ἐκ τοῦ χεὶρ καὶ
μάκτρον, ὅπερ ἐκ τοῦ μάσσω (σπογγίζω).—*πλέα*] ἐνν. ἡ χεὶρ πλήρης·
ἰδὲ γραμμ. § 19.

§ 6. *οὕτω γιγνώσκεις*] ἔχεις ταύτην τὴν γνώμην.—*ἀλλὰ κρέα γε εὐω-
χοῦ*] ἀλλὰ κρέατα τοὐλάχιστον τρῶγε.—*νεανίας*] νέος δυνατός, παλλη-
κάρι.—*ἅμα λέγοντα*] αὐτόν, τὸν Ἀστυάγην, ὑποκμ. τοῦ παραφέρειν (=
παρατιθέναι), ὅπερ ἐξαρτᾶται ἐκ τοῦ φασίν.—*καὶ θήρεια καὶ τῶν ἡμέρων*]
ἐνν. ζῴων κρέα· δηλ. καὶ ἀγρίων καὶ ἡμέρων ζῴων κρέατα.—*ἦ*] ἀληθῶς,
τῳόντι.—*ἔγωγέ σοι*] ἐνν. δίδωμι πάντα ταῦτα τὰ κρέα, ὅ,τι ἂν βούλῃ
αὐτοῖς χρῆσθαι.

§ 7. *ἐνταῦθα*] τότε.—*τῶν κρεῶν*] ἀντικμ. τοῦ λαβόντα κατὰ γεν. διαι-
ρετ.—*διαδιδόναι*] ἐκ τοῦ ἔφασαν· ὅτι διεμοίραζεν.—*θεραπευταῖς*] εἰς τοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ειν διδάσκεις, σοὶ δ', ὅτι μοι παλτὸν ἔδωκας· νῦν γὰρ
τοῦτ' ἔχω· σοὶ δ', ὅτι τὸν πάππον καλῶς θεραπεύεις, σοὶ
δ' ὅτι μου τὴν μητέρα τιμᾷς· τοιαῦτα ἐποίει, ἕως διεδίδου
8 πάντα, ἃ ἔλαβε κρέα. Σάκᾳ δέ, φάναι τὸν Ἀστυάγην,
τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως; Ὁ δὲ
Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε καὶ τιμὴν ἔχων προσά-
γειν τοὺς δεομένους Ἀστυάγους καὶ ἀποκωλύειν, οὓς μὴ
καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπε-
ρέσθαι προπετῶς ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων. Διὰ
τί δή, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυάγην
σκώψαντα εἰπεῖν, Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ
καὶ εὐσχημόνως. Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι
κομψῶς τε οἰνοχοοῦσι καὶ καθαρείως ἐγχέουσι καὶ δι-
δόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην καὶ προσ-
φέρουσιν ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλ-
9 λοντι πίνειν. Κέλευσον δή, φάναι, πάππε, τὸν Σάκαν
καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν
ἐγχέας ἀνακτήσωμαί σε, ἢν δύνωμαι. Καὶ τὸν κελεῦσαι

---

θεράποντας, τοὺς ὑπηρετοῦντας τὸν πάππον που.—*σοὶ μὲν τοῦτο*] ἐνν. δίδωμι.—*ὅτι*] διότι —*σοὶ δέ*] ἐνν. τοῦτο δίδωμι.

§ 8. *ἄρα*] ἀληθῶς.—*τιμήν*] ἀξίωμα.—*προσάγειν*] νὰ ὁδηγῇ πρὸς τὸν Ἀστυάγην, νὰ παρουσιάζῃ πρὸς ἀκρόασιν.—*οὓς μή . . . δοκοίη*]=εἴ τινας μὴ δοκοίη· συντ. § 52. 3.—*προπετῶς*] τολμηρῶς.—*ὡς ἂν παῖς*] ἐνν. ἔροιτο.—*μηδέπω ὑποπτήσσων*] μὴ συστελλόμενος ἀκόμη ἐκ φόβου.—*σκώψαντα*] σκώπτω=ἀστειεύομαι.—*ὡς καλῶς*] πόσον ὡραῖα.—*τῶν βασιλέων τούτων*] τῶν Ἀσιανῶν ἢ καὶ μόνον τῶν Μήδων.—*ἐγχέουσι καὶ διδόασι . . . καὶ προσφέρουσιν*] διὰ τούτων περιγράφει καὶ ἐπεξηγεῖ τὸ οἰνοχοοῦσιν.—*ὀχοῦντες*] κρατοῦντες τὸ ῥ. ὀχέω-ῶ ἐκ τοῦ ἔχω.—*ὡς ἂν ἐνδοῖεν*] ἵνα δύνανται νὰ δίδωσιν εἰς τὴν χεῖρα, νὰ ἐγχειρίζωσιν.—*τὸ ἔκπωμα*] τὸ ποτήριον.

§ 9. *πιεῖν*]=ἵνα πίῃς. *ἀνακτήσωμαί σε*] σὲ ἀποκτήσω ἐντελῶς, σὲ κάμω ὅλον ἰδικόν μου, δηλ. ἀποκτήσω ὅλην τὴν ἀγάπην σου.—*καὶ τόν*]=καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*δοῦναι. Λαβόντα δὲ τὸν Κῦρον οὕτω μὲν δὴ εὖ κλύσαι τὸ ἔκπωμα, ὥσπερ τὸν Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ πρόσωπον σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε ἐκ τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. Οἱ δ' ἄρα τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν διδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ' αὐτῆς τῷ κυάθῳ εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταῤῥοφοῦσι τοῦ δή, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν* 10 *αὐτοῖς. Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων, Καὶ τί δή, ἔφη, ὦ Κῦρε, τἆλλα μιμούμενος τὸν Σάκαν οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; Ὅτι, ἔφη, νὴ Δία ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρματα μεμιγμένα εἴη. Καὶ γὰρ ὅτε εἰ-*

---

τοῦτον, τὸν Ἀστυάγην· ἢ ὀνομ. *καὶ ὅς*]=καὶ οὗτος.—*κελεῦσαι δοῦναι*] ἐνν. τὸν Σάκαν αὐτῷ τὸ ἔκπωμα.—*κλύσαι*] ῥ. κλύζω=γεμίζω.—*ὥσπερ Σάκαν ἑώρα*] κλύζοντα τὸ ἔκπωμα.—*στήσαντα τὸ πρόσωπον σπουδαίως καὶ εὐσχημόνως πως*] ἀφοῦ ἐσχημάτισε τὸ πρόσωπόν του σοβαρὸν καὶ εὐπρεπὲς ἀρκετά.—*ἐκγελάσαντα*] ἀφοῦ ἐξέσπασε στὰ γέλοια. -*ἐκ τῆς τιμῆς*] ἣν ἔχεις τοῦ οἰνοχοεῖν.—*οὐκ ἐκπίομαι αὐτός*] δὲν θὰ πίνω ἀτός μου· γραμμ. § 97, 5.—*ἐπειδὰν διδῶσιν*] ὅταν δίδωσιν, ὁσάκις δίδουσιν.—*ἀρύσαντες*] ἀντλήσαντες.—*τῷ κυάθῳ*] διὰ τοῦ μικροῦ ποτηρίου —*ἐγχεάμενοι*] ἐγχέω· γραμμ. § 73, 6. *τοῦ δή, μὴ λυσιτελεῖν αὐτοῖς*] ἵνα μὴ ὠφελῇ αὐτούς, κατὰ σχῆμα λιτότητος ἀντὶ ἵνα νὰ φονεύῃ αὐτοὺς τοῦτο.—*εἰ φάρμακα ἐγχέοιεν*] εἶναι ὑποκμ. τοῦ λυσιτελεῖν· ἡ δ' εὐκτικὴ σημαίνει ἁπλῆν γνώμην τοῦ λέγοντος.

§ 10. *ἐκ τούτου*] μετὰ τοῦτο.—*καὶ τί δή*] καὶ διὰ τί λοιπόν.—*τἆλλα μιμούμενος*] ἐνῷ κατὰ τὰ ἄλλα ἐμιμεῖσο.—*ἐδεδοίκειν*] γραμμ. § 87, 2.—*κρατήρ*] εἶναι πλατὺ ἀγγεῖον, εἰς τὸ ὁποῖον ἀνεμίγνυον τὸν οἶνον μὲ ὕδωρ καὶ ἐξ αὐτοῦ ἐλάμβανον διὰ τῶν ποτηρίων.—*μὴ μεμιγμένα εἴη*] συντ. §

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στίασας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα ὑμῖν αὐτὸν ἐγχέαντα. Καὶ πῶς δὴ σὺ τοῦτο, ἔφη, ὦ παῖ, κατέγνως; Ὅτι νὴ Δί' ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲν ἀλλήλων, ᾔδετε δὲ καὶ μάλα γελοίως, οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος ὤμνυτε ἄριστα ᾄδειν· λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἔπειτ' εἰ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε. Ἐπελέλησθε δὲ παντάπασι σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρ' ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότ' ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε.
11 Καὶ ὁ Ἀστυάγης λέγει, Ὁ δὲ σὸς πατήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται, ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γάρ, οἶ-

---

58, 7. —*εἰστιάσας*] ἑστιάω - ῶ. γραμμ. § 71, 1, α' καὶ § 60. — *κατέμαθον*] ἐκατάλαβα. — *κατέγνως*] ἐγνώρισες, ἐκατάλαβες. — *καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους*] ὅτι καὶ κατὰ τὸν νοῦν καὶ κατὰ τὰ σώματα ἐσφάλλετε, δηλ. οὔτε ὀρθῶς ὡμιλεῖτε· οὔτε ἀσφαλῶς ἐβαδίζετε· συντ. § 45, β', 6. - *αὐτοί*]=ὑμεῖς αὐτοί, σεῖς οἱ ἴδιοι. — *ἐκεκράγειτε*] ἐφωνάζετε· κέκραγα=φωνάζω παρακμ. μὲ σημασίαν ἐνεστ. μέλ. *κεκράξομαι*· τὸ ῥῆμα κράζω. — *ἐμανθάνετε δὲ οὐδὲν ἀλλήλων*] δὲν ἐκαταλαμβάνετε δὲ διόλου ὁ εἷς τὸν ἄλλον. — *οὐκ ἀκροώμενοι*] ἐνῷ δὲν ἠκούετε. — *λέγων*] ἐνῷ ἔλεγεν — *εἰ ἀνασταίητε ὀρχησόμενοι*] ὁσάκις ἐσηκώνεσθε, ἵνα χορεύσητε. — *μὴ ὅπως ὀρχεῖσθαι, ἀλλ' οὐδ' ὀρθοῦσθαι ἐδύνασθε*] ὄχι μόνον δὲν ἠδύνασθε νὰ χορεύητε, ἀλλ' οὐδὲ νὰ στέκησθε εἰς τὰ πόδια σας ὀρθοί. — *ἐπελέλησθε*] εἴχετε λησμονήσῃ· τὸ ῥ. ἐπιλανθάνομαι. — *ἡ ἰσηγορία*] τὸ ἐξ ἴσου ὁμιλεῖν, ἐπομένως ἡ ἐλευθερία τοῦ λόγου. — *γοῦν*]=γάρ.

§ 11. *οὐ μὰ Δία*] ἐνν. μεθύσκεται. — *διψῶν παύεται*] παύει νὰ διψᾷ, δηλ. πίνει τόσον μόνον, ὥστε νὰ παύῃ τὴν δίψαν του. — *κακόν*] ἐννοεῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν. Ἀλλὰ τί ποτε σύ, ὦ παῖ, τῷ Σάκᾳ οὕτω πολεμεῖς ; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλ' ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς ἂν ἄρξαις αὐτοῦ ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἂν ὥσπερ οὗτος ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα ὁπότε βούλοιτο παριέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας· εἶθ' ὁπότε ἥκοι ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἄν, ὅτι λοῦται. εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν, ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει ἀπὸ σοῦ κωλύων. Τοσαύτας μὲν αὐτοῖς εὐθυ- 12
μίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δ' ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς ἀδελφόν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ,τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πάλιν 13
πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης καταλιπεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἅπαντα

---

τὸ μεθύσκεσθαι.—οἶμαι] εἰρωνείαν σημαίνει.—τί ποτε]=διά τί τάχα.—προσδραμεῖν] τὸ ῥ. προστρέχω· νὰ τρέξω εἰς τὸν πάππον μου.—δός] συντ. § 39, δ'. 4.—ὥσπερ οὗτος] ἐνν. ἵσταται.—ὁπότε βούλοιτο] ὁσάκις θέλει.—παριέναι ἐπ' ἄριστον] νὰ ὑπάγῃ διὰ γεῦμα.—σπουδάζει] ἐνν. τὸ ἄριστον· ἔχει σπουδαίας ὑποθέσεις.—λοῦται] τὸ δεῖπνον· γραμμ. § 59, 2.—ἕως παρατείναιμι] ἕως ὅτου τὸν τυραννήσω.

§ 12. τὰς δ' ἡμέρας] διότι τὸ δεῖπνον ἐγίνετο πρὸς τὴν ἑσπέραν.—μητρὸς ἀδελφόν] τὸν Κυαξάρην.—φθάσαι ποιήσαντα] νὰ προφθάσῃ νὰ κάμῃ νὰ προλάβῃ.—ὅ,τι δύναιτο] ἐνν. χαρίζεσθαι ἐκ τοῦ χαριζόμενος.

§ 13. ὡς ἀπιοῦσα πάλιν] ἵνα ἀπέλθῃ ὀπίσω.—πρὸς τὸν ἄνδρα] ἑαυτῆς,



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα χαλεπὸν
14 εἶναι νομίζειν καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀστυάγης λέγει
πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ' ἐμοί, πρῶτον
μὲν τῆς παρ' ἐμὲ εἰσόδου σοι οὐ Σάκας ἄρξει, ἀλλ' ὁπό-
ταν βούλῃ εἰσιέναι ὡς ἐμέ, ἐπὶ σοὶ ἔσται· καὶ χάριν σοι
εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς ὡς ἐμέ. Ἔπειτα δὲ ἵπ-
ποις τοῖς ἐμοῖς χρήσει καὶ ἄλλοις, ὁπόσοις ἂν βούλῃ, καὶ
ὁπόταν ἀπίῃς, ἔχων ἄπει, οὓς ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα
δὲ ἐν τῷ δείπνῳ ἐπὶ τὸ μετρίως σοι δοκοῦν ἔχειν, ὁποίαν
βούλει ὁδὸν πορεύσῃ. Ἔπειτα τά τε νῦν ἐν τῷ παραδείσῳ
θηρία δίδωμί σοι καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ ἐ-
πειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ
ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖ-
δας δέ σοι ἐγὼ συμπαίστορας παρέξω καὶ ἄλλα, ὁπόσα
15 ἂν βούλῃ, λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις. Ἐπεὶ ταῦτα
εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερον
βούλοιτο μένειν ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ
ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν
ὑπὸ τῆς μητρός, διὰ τί, εἰπεῖν λέγεται, Ὅτι οἴκοι μὲν τῶν
ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ

---

δηλ. τὸν Καμβύσην.—ἅπαντα τῷ πατρὶ χαρίζεσθαι] νὰ κάμνῃ πᾶσαν χάριν εἰς τὸν πατέρα της.—ἄκοντα] μὴ θέλοντα.

§ 14. ἔνθα] τότε.—οὐ Σάκας ἄρξει] δὲν θὰ σὲ ἐμποδίζῃ ὁ Σάκας.—ὡς ἐμέ] πρὸς ἐμέ.—ἐπὶ σοὶ ἔσται] εἰς τὴν ἐξουσίαν σου θὰ ἦναι.—εἴσομαι] μέλ. τοῦ οἶδα, γραμμ. § 87, 1.—βούλῃ] ἐνν. χρῆσθαι.—ἐθέλῃς] ἐνν. ἔχειν.—ἐπὶ τὸ δοκοῦν σοι μετρίως ἔχειν] εἰς ἐκεῖνο, τὸ ὁποῖον σὺ νομίζεις. ὅτι εἶναι μέτριον.—τὰ ἐν τῷ παραδείσῳ θηρία] τὰ ἐν τῷ κήπῳ ζῷα.—οὐκ ἀτυχήσεις] ἐνν. αὐτῶν· δὲν θὰ ἀποτυγχάνεις.

§ 15. πότερον βούλοιτο μένειν ἢ ἀπιέναι] πλαγία σύνθετος ἐρώτησις κατ' εὐκτ., διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου, τοῦ διηρώτα· συντ. § 58, 5.—οὐκ ἐμέλλησεν] ἐνν. ἀποκρίνασθαι· δὲν ἐβράδυνεν.—διὰ τί] ἐνν. μένειν βούλοιτο.—ὅτι . . . εἰμί] αἰτιολογεῖ τὸ ἐννοούμενον μένειν βού-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀκοντίζων καὶ τοξεύων, ἐνταῦθα δὲ οἶδ᾽, ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο εὖ ἴσθι, ὦ μῆτερ, ἔφη, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν, ὅταν δ᾽ εἰς Μήδους ἔλθω, ἐνθάδε πειράσομαι τῷ πάππῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς συμμαχεῖν αὐτῷ. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε ἐκεῖ 16
ὄντων σοι τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ᾽, ὦ μῆτερ, ἀκριβῶς ταῦτά γε οἶδα. Πῶς σὺ οἶσθα; Τὴν Μανδάνην εἰπεῖν. Ὅτι, φάναι, ὁ διδάσκαλός με ὡς ἤδη ἀκριβοῦντα τὴν δικαιοσύνην καὶ ἄλλοις καθίστη δικάζειν. Καὶ τοίνυν, φάναι, ἐπὶ μιᾷ ποτε δίκῃ πληγὰς ἔλαβον ὡς οὐκ ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιαύτη. Παῖς μέγας 17
μικρὸν ἔχων χιτῶνα παῖδα μικρὸν μέγαν ἔχοντα χιτῶνα ἐκδύσας αὐτὸν τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε, τὸν δ᾽ ἐκείνου αὐτὸς ἐνέδυ. Ἐγὼ οὖν τούτοις δικάζων ἔγνων βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόττοντα ἑκάτερον χιτῶνα ἔχειν. Ἐν δὲ τούτῳ με ἔπαισεν ὁ διδάσκαλος λέξας, ὅτι ὁπότε μὲν τοῦ ἁρμόττοντος εἴην κριτής, οὕτω δέοι ποι-

---

λομαι.—*καὶ τοῦτο*] δηλ. τὸ ἥττονα ἐμὲ εἶναι.—*ἴσθι*] προστακτ. τοῦ οἶδα.—*ἀνιᾷ*] μὲ στενοχωρεῖ, μὲ λυπεῖ.—*ἐκείνους*] ἐκείνους ἐκεῖ, δηλ. τοὺς Πέρσας.—*τοὺς ἀγαθοὺς τὰ πεζικά*] ἐνν. πράγματα· οἵτινες εἶναι ἱκανοὶ εἰς τὰ πεζικά.—*τῷ πάππῳ*] ἀναφέρεται εἰς τὸ κράτιστος ὤν. δοτ. χαριστική.—*αὐτῷ*] ἀναφέρεται εἰς τὸ *ἱππεὺς* (ὡς ἱππεύς, κατηγρμ.) *συμμαχεῖν*.

§ 16. *ἐκεῖ*] ἐν Περσίᾳ.—*ταῦτα*] σχῆμα κατὰ σύνεσιν ἢ κατὰ τὸ νοούμενον· διότι τὸ δικαιοσύνην=τὰ δίκαια.—*ὡς ἀκριβοῦντα*] διότι κατὰ τὴν γνώμην του ἐγνώριζον ἀκριβῶς.—*καὶ ἄλλοις καθίστη δικάζειν*] καὶ ἄλλους νὰ δικάζω μὲ ἔβαζε, μὲ διώριζεν.—*ἐπὶ μιᾷ δίκῃ*] διὰ μίαν δίκην.—*πληγὰς ἔλαβον*] τῆς ἔφαγα, δηλ. ἐξυλίσθην, ἐνν. ὑπὸ τοῦ διδασκάλου. τὸ ἐνεργ. πληγὰς δίδωμι, πληγὰς ἐντείνω ἢ ἐντρίβω.

§ 17. *ἐνέδυ*] ἀόρ. τοῦ ἐνδύομαι,—*ἔγνων*] ἔκρινα.—*τὸν ἁρμόττοντα*]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἶν, ὁπότε δὲ κρῖναι δέοι, ποτέρου ὁ χιτὼν εἴη, τοῦτ' ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία ἐστί, πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν ἢ τὸν ποιησάμενον ἢ πριάμενον κεκτῆσθαι· ἐπεὶ δ', ἔφη, τὸ μὲν νόμιμον δίκαιον εἶναι, τὸ δὲ ἄνομον βίαιον, σὺν τῷ νόμῳ ἐκέλευεν ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι. Οὕτως ἐγώ σοι, ὦ μῆτερ, τά γε δίκαια παντάπασιν ἤδη ἀκριβῶ· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με, ἔφη, οὗτος ἐπιδιδάξει.

1 Κεφ. Δ'. Τοιαῦτα μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε καὶ αὐτοῦ ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο, ὥστε οἰκείως διακεῖσθαι, ταχὺ δὲ τοὺς πατέρας αὐτῶν ἀνήρτητο προσιὼν καὶ ἔνδηλος ὤν, ὅτι ἠσπάζετο αὐτῶν τοὺς υἱεῖς, ὥστε εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς παῖδας ἐκέλευον τοῦ Κύρου δεῖσθαι διαπράξασθαι σφίσιν, ὁ δὲ Κῦρος, ὅ,τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλανθρωπίαν

---

ἐνν. ἑαυτῷ, δηλ. ὁ μὲν μικρὸς παῖς νὰ ἔχῃ τὸν μικρὸν χιτῶνα, ὁ δὲ μέγας τὸν μέγαν.—*ἔπαισεν*] μὲ ἔδειρεν.—*ποτέρου ὁ χιτὼν εἴη*] τίνος ἐκ τῶν δύο ἦτο ὁ χιτών· πλαγία ἐρώτησις ἐκ τοῦ κρῖναι.—*σκεπτέον*]=δεῖ σκοπεῖσθαι· συντ. § 47, 2.—*τίς κτῆσις δικαία ἐστί*] πλαγία ἐρώτησις ἐπεξηγοῦσα τὸ ἡγούμενον τοῦτο.—*πότερα . . . κεκτῆσθαι*] σύνθετος πλαγία ἐρώτησις ἐπεξηγοῦσα τὸ ἡγούμενον τίς κτῆσις.—*πριάμενον*] ἀόρ. τοῦ ὠνοῦμαι (ἀγοράζω)· γραμμ. § 71, β' καὶ § 84, β.—*σὺν τῷ νόμῳ*] σύμφωνα μὲ τὸν νόμον.—*τὴν ψῆφον τίθεσθαι*]=ψηφίζεσθαι· νὰ δίδῃ τὴν ψῆφόν του, ν' ἀποφασίζῃ.—*σοι*] δοτ. ἠθική.—*ἄρα*] τυχόν, ἴσως· εἰκαστικόν.—*προσδέωμαι*] προσέτι χρειάζομαι, ἔχω ἀκόμη ἀνάγκην.—*οὗτος*]=ὅδε, αὐτὸς ἐδῶ.—*ἐπιδιδάξει*] θὰ μὲ διδάξῃ ἔπειτα.

Κεφ. Δ'. § 1. *τέλος*] ἐπίρρημα· ἐπὶ τέλους·—*τοῖς ἡλικιώταις*] μὲ τοὺς ὁμηλίκους του.—*συνεκέκρατο*] τὸ ῥ. συγκεράννυμαι· εἶχε συνενωθῇ· εἶχε συνδεθῇ διὰ φιλίας.—*ἀνήρτητο*] τὸ ῥ. ἀναρτάομαι· εἶχε προσελκύσῃ.—*προσιών*] ἐρχόμενος πρὸς αὐτούς.—*τοὺς υἱεῖς*] γραμμ. § 31, 3.—*εἴ τι δέοιντο*] ὁσάκις εἶχον ἀνάγκην τινά.—*διαπράξασθαι*] νά το κατορθώσῃ ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ φιλοτιμίαν περὶ παντὸς ἐποιεῖτο διαπράττεσθαι· καὶ ὁ 2
Ἀστυάγης δέ, ὅ,τι δέοιτο αὐτοῦ ὁ Κῦρος, οὐδὲ ἐδύνατο ἀντέχειν μὴ οὐ χαρίζεσθαι. Καὶ γὰρ ἀσθενήσαντος αὐτοῦ οὐδέποτε ἀπέλειπε τὸν πάππον οὐδὲ κλάων ποτὲ ἐπαύετο, ἀλλὰ δῆλος ἦν πᾶσιν, ὅτι ὑπερεφοβεῖτο μή οἱ ὁ πάππος ἀποθάνῃ· καὶ γὰρ ἐκ νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων, ὅ,τι οἴοιτο χαριεῖσθαι, ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυάγην.

Ὡς δὲ προῆγεν αὐτὸν ὁ χρόνος σὺν τῷ μεγέθει εἰς ὥ- 3
ραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις μανοτέροις ἐχρῆτο καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ, αἰδοῦς δ' ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις, καὶ τὸ σκυλακῶδες τὸ πᾶσιν ὁμοίως προσπίπτειν οὐκέθ' ὁμοίως [προπετὲς] εἶχεν. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις πάμπαν ἐπίχα-

---

Κῦρος.—*σφίσιν*]=ἑαυτοῖς.—*διὰ τὴν φιλανθρωπίαν*] ἐπειδὴ ἦτο φιλάνθρωπος.—*περὶ παντὸς ἐποιεῖτο*] μὲ καθε τρόπον ἐφρόντιζεν.

§ 2. *ἀντέχειν*] νὰ ἀνθίσταται, νὰ ἀρνῆται.—*μὴ οὐ χαρίζεσθαι*] ἐνν. αὐτῷ, τῷ Κύρῳ· νὰ μὴ τοῦ κάμνῃ τὴν χάριν.—*κλάων*]=κλαίων γραμμ. § 59, παρατήρ. 2. καὶ § 73. 7. *μή οἱ ὁ πάππος ἀποθάνῃ*] μήπως τοῦ ἀποθάνῃ ὁ πάππος.—*ἐκ νυκτὸς*] τὴν νύκτα.—*ᾐσθάνετο*] ἐνόει καὶ ἐξυπνοῦσε.—*ὑπηρετήσων*] ἵνα ὑπηρετῇ αὐτόν, τὸν Ἀστυάγην.—*χαριεῖσθαι*] ὅτι ἔμελλε νὰ τὸν εὐχαριστῇ.

§ 3. *ὡς δ' προῆγεν αὐτὸν ὁ χρόνος ... γενέσθαι*] ὅτε δὲ ἐπροχώρει ὁ χρόνος καὶ ἐμεγάλωνε εἰς ἡλικίαν τοῦ νὰ πλησιάζῃ νὰ γείνῃ ἔφηβος.—*ἐν τούτῳ δή*] τότε πλέον.—*μανοτέροις*] σπανιωτέροις.—*ἐνεπίμπλατο*] ἐγίνετο πλήρης· γραμμ. [illegible]4, 2.—*ἐρυθραίνεσθαι*] νὰ κοκκινίζῃ· τὸ ῥῆμα λέγεται καὶ ἐρυθριῶ.—*ὁπότε συντυγχάνοι*] ὁσάκις ἀπήντα.—*τὸ σκυλακῶδες*] τὸ κολακευτικόν, τὸ ὁποῖον ἔχουσιν οἱ σκύλακες· γραμμ. § 108, 2, σημ.—*τό ... προσπίπτειν*] ἐπεξήγησις τοῦ σκυλακῶδες.—*οὐκέθ' ὁμοίως εἶχεν*] δὲν εἶχε πλέον ὁμοίως, καθὼς πρότερον, ὅτε ἦτο παῖς.—*ἐν ταῖς συνουσίαις*] εἰς τὰς συναναστροφάς.—*ἐπίχαρις*]· γραμμ. § 35, ε΄, 4·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ ἃ κρείττων ᾔδει ὤν, ταῦτα προυκαλεῖτο τοὺς συνόντας, ἀλλ' ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ἐξῆρχε φάσκων κάλλιον αὐτῶν ποιήσειν καὶ κατῆρχεν ἤδη ἀναπηδῶν ἐπὶ τοὺς ἵππους ἢ διατοξευσόμενος ἢ διακοντιούμενος ἀπὸ τῶν ἵππων οὔπω πάνυ ἔποχος ὤν, ἡττώμενος
4 δὲ αὐτὸς ἐφ' ἑαυτῷ μάλιστα ἐγέλα. Ὡς δ' οὐκ ἀπεδίδρασκεν ἐκ τοῦ ἡττᾶσθαι εἰς τὸ μὴ ποιεῖν, ὃ ἡττῷτο, ἀλλ' ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἥλιξι, ταχὺ δὲ παρῄει διὰ τὸ ἐρᾶν τοῦ ἔργου, ταχὺ δὲ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει διώκων καὶ βάλλων καὶ κατακαίνων, ὥστε ὁ Ἀστυάγης οὐκέτ' εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος αἰσθόμενος, ὅτι βουλόμενος οὐ δύναιτό οἱ ζῶντα πολλὰ

---

πλήρης χάριτος.—*ὅσα*] ἀντὶ τούτων. ὅσα.—*ἃ*]=τούτων, ἅ· τὸ ἃ αἰτ. τῆς ἀναφορᾶς.—*ταῦτα*] ἐπαναλαμβάνει μετ' ἐμφάσεως τὸ ἃ κρείττων ᾔδει ὤν. *ἐξῆρχε*] ἔκαμνεν ἀρχήν, πρὶν ἄλλος προτείνῃ.—*κατῆρχεν*] ἔκαμνε τὴν ἀρχήν.—*διατοξευσόμενος ἢ διακοντιούμενος*] ἵνα διαγωνισθῇ πρὸς αὐτοὺς διὰ τόξου ἢ ἀκοντίου. *οὔπω πάνυ ἔποχος ὤν*] ἂν καὶ δὲν ἦτο ἀκόμη καλὰ καλὰ ἐπάνω εἰς τὸν ἵππον, δηλ. δὲν ἐκάθητο ἀκόμη καλά.—*ἡττώμενος δέ*] ἐὰν δὲ ἐνικᾶτο.

§ 4. *ὡς δ' οὐκ ἀπεδίδρασκεν*] ἐπειδὴ δὲ δὲν ἀπέφευγεν.—*ἐκ τοῦ ἡττᾶσθαι*] ἐπειδὴ ἐνικᾶτο. *ὃ ἡττῷτο*] ἐκεῖνο εἰς τὸ ὁποῖον ἐνικᾶτο.—*ἐκαλινδεῖτο*] ἐκυλίετο, ἐπέμενεν. Καὶ τὸ *ἀπεδίδρασκε* καὶ τὸ *ἐκαλινδεῖτο* ἐνταῦθα κεῖνται μεταφορικῶς ἐκ τῶν ἀγώνων τῆς πάλης. ἐν οἷς ὁ νικηθεὶς ἢ ἔφευγε κρυφὰ ἐκ τῆς παλαίστρας ἢ ἐκυλίετο ἐν αὐτῇ προσπαθῶν νὰ σηκωθῇ καὶ ἐξακολουθήσῃ τὴν πάλην.—*ἐν τῷ πειρᾶσθαι*] προσπαθῶν.—*εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἥλιξι*] ἔγεινεν ἴσος κατὰ τὴν ἱππικὴν μὲ τοὺς ὁμήλικάς του.—*παρῄει*] παρατ. τοῦ παρέρχομαι· τοὺς ἐπερνοῦσεν.—*διὰ τὸ ἐρᾶν τοῦ ἔργου*] διότι εἶχεν ἔρωτα (σφοδρὰν ἀγάπην) εἰς τὸ ἔργον τοῦτο, τὴν ἱππικήν.—*κατακαίνων*]=κατακτείνων, φονεύων.—*οὐκέτι εἶχεν*] δὲν ἠδύνατο πλέον.—*βουλόμενος*] ἂν καὶ ἐπεθύμει (ὁ Ἀστυάγης).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρέχειν, ἔλεγε πρὸς αὐτόν, Ὦ πάππε, τί σε δεῖ θηρία
ζητοῦντα πράγματ' ἔχειν; ἀλλ' ἐὰν ἐμὲ ἐκπέμπῃς ἐπὶ θή-
ραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θηρία, ἐμοὶ ταῦτα
τρέφεσθαι.
Ἐπεὶ δ' οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυ- 5
μοῦντα ἔξω θηρᾶν, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ καὶ φυ-
λακας συμπέμπει ἐφ' ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν
δυσχωριῶν φυλάττοιεν αὐτὸν καὶ εἰ τῶν ἀγρίων τι φανείη
θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυν-
θάνετο, ποίοις οὐ χρὴ θηρίοις πελάζειν καὶ ποῖα χρὴ
θαῤῥοῦντα διώκειν. Οἱ δ' ἔλεγον, ὅτι ἄρκτοι τε πολλοὺς
ἤδη πλησιάσαντας διέφθειραν καὶ κάπροι καὶ λέοντες καὶ
παρδάλεις, αἱ δὲ ἔλαφοι καὶ δορκάδες καὶ οἱ ἄγριοι οἶες
καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο,
τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον ἢ τὰ θη-
ρία· πολλοὺς γὰρ ἤδη αὐτοῖς τοῖς ἵπποις κατακρημνι-
σθῆναι. Καὶ ὁ Κῦρος πάντα ταῦτα ἐμάνθανε προθύμως· 6
ὡς δὲ εἶδεν ἔλαφον ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος,

—*τί δεῖ*] ποία ἀνάγκη εἶναι, δηλ. οὐδεμία ἀνάγκη εἶναι.—*πράγματα*] φροντίδες, ἐνοχλήσεις.—*ἐμοί*] δι' ἐμὲ δοτ. χαριστική.

§ 5. *ἔξω*] τοῦ παραδείσου.—*πρεσβυτέρους*] ἐνν. αὐτοῦ, μεγαλειτέρους.—*ὅπως φυλάττοιεν*] διὰ νὰ τὸν προφυλάττωσιν· κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐκ τοῦ ἱστορικοῦ ἐνεστ. συμπέμπει.—*καὶ εἰ τῶν ἀγρίων τι φανείη θηρίων*] =καὶ ἀπὸ τῶν ἀγρίων θηρίων, εἴ τι φανείη.—*τῶν ἑπομένων ἐπυνθάνετο*] παρὰ τῶν ἀκολουθούντων αὐτὸν ἐμάνθανεν ἐρωτῶν.—*ποίοις*] ποίου εἴδους.—*θαῤῥοῦντα*] αὐτόν, ὑποκμ. τοῦ διώκειν· μὲ θάῤῥος, χωρὶς φόβον.—*κάπροι*] ἀγριόχοιροι.—*δορκάδες*] ζαρκάδια.—*ὄνοι οἱ ἄγριοι*]=ὄναγροι.—*ἀσινεῖς*] ἀβλαβεῖς.—*τὰς δυσχωρίας*] προτάσσεται χάριν ἐμφάσεως.—*αὐτοῖς τοῖς ἵπποις*] δοτ. τῆς συνοδείας=σὺν αὐτοῖς τοῖς ἵπποις.

§ 6. *ὧν ἤκουσεν*]=τούτων, ἃ ἤκουσεν. *ὅποι ἔφευγεν*] εἰς ποῖον μέρος ἔφευγεν· πλαγία ἐρώτησις.—*μικροῦ*]=μικροῦ δεῖν, ὀλίγον ἔλειψε, παρ' ὀλίγον.—*ἐξετραχήλισεν*] ἐκ τοῦ τραχήλου του ἔῤῥιψεν.—*οὐ μὴν ἀλλ' ἐπέ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὧν ἤκουσεν, ἐδίωκεν οὐδὲν ἄλλο ὁρῶν ἢ ὅποι ἔφευγε. Καί πως διαπηδῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα καὶ μικροῦ κἀκεῖνον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ' ἐπέμεινεν ὁ Κῦρος μόλις πως καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δ' εἰς τὸ πεδίον ἦλθεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆμα καὶ μέγα. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλακες προσελάσαντες ἐλοιδόρουν αὐτὸν [καὶ ἔλεγον], εἰς οἷον κίνδυνον ἔλθοι, καὶ ἔφασαν κατερεῖν αὐτοῦ. Ὁ οὖν Κῦρος εἱστήκει καταβεβηκὼς καὶ ἀκούων ταῦτα ἠνιᾶτο. Ὡς δ' ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν ἵππον ὥσπερ ἐνθουσιῶν καί, ὡς εἶδεν ἐκ τοῦ ἀντίου κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει καὶ διατεινάμενος εὐστόχως βάλλει
7 εἰς τὸ μέτωπον καὶ κατέσχε τὸν κάπρον. Ἐνταῦθα μέντοι ἤδη καὶ ὁ θεῖος αὐτῷ ἐλοιδορεῖτο τὴν θρασύτητα ὁρῶν. Ὁ δ' αὐτοῦ λοιδορουμένου ὅμως ἐδεῖτο, ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι εἰσκομίσαντα δοῦναι τῷ πάππῳ. Τὸν δὲ θεῖον εἰπεῖν φασιν, Ἀλλ' ἢν αἴσθηται, ὅτι ἐδίωκες, οὐ σοὶ μόνον λοιδορήσεται, ἀλλὰ καὶ ἐμοί, ὅτι σε εἴων. Καὶ ἢν βούληται, φάναι αὐτόν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύγε, ὅ,τι βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος

---

*μεινεν*]=οὐ μὴν ἐξετραχήλισεν, ἀλλ' ἐπέμεινεν.—*μόλις πως*]=τῷ τῆς ὁμιλουμένης μόλις καὶ μετὰ βίας, δυσκόλως.—*καλόν τι χρῆμα*] παράθεσις εἰς τὸ τὴν ἔλαφον· συντ. § 18, 2, α'.—*εἰς οἷον*]=ὅτι εἰς τοιοῦτον· αἰτιολ. ἀναφ. πρότασις.—*κατερεῖν*] μέλλ. τοῦ καταγορεύω· ὅτι θὰ καταγγείλωσιν αὐτὸν εἰς τὸν Ἀστυάγην.—*ἠνιᾶτο*] ἐλυπεῖτο.—*ἐκ τοῦ ἀντίου*] ἐκ τοῦ ἀντικρὺ μέρους.—*ἀντίος ἐλαύνει*] ἐναντίον του προχωρεῖ.—*διατεινάμενος*] ἐνν. τὸ ἀκόντιον· ὑψώσας·—*κατέσχεν*] ἐκράτησεν, ἐφόνευσεν.

§ 7. *ἐλοιδορεῖτο*] ἐπέπληττεν.—*τὴν θρασύτητα*] τὴν ἀπερίσκεπτον τόλμην του.—*αὐτοῦ λοιδορουμένου*] γεν. ἀπόλυτος· ἂν καὶ αὐτὸς τὸν ἐπέπληττεν.—*ἔλαβε*] συνέλαβεν.—*ὅτι σε εἴων*] ἐνν. διώκειν.—*ἐπειδὰν ἐγὼ δῶ*] ἀφοῦ ἐγὼ δώσω, ἀρκεῖ μόνον νὰ δώσω.—*ἢν βούληται*] ἐνν. μαστιγῶσαί με, ἐκ τοῦ ἑπομένου μαστιγωσάτω.—*ὅ,τι βούλει*] ἐνν. τιμωρήσασθαι.—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταῦτα ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης μέντοι τελευ-
τῶν εἶπε, Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν ἔοικας
βασιλεὺς εἶναι. Οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία 8
ἐδίδου τε τῷ πάππῳ καὶ ἔλεγεν, ὅτι αὐτὸς ταῦτα θηρά-
σειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια ἐπεδείκνυ μὲν οὔ, κατέθηκε
δὲ ἡμαιωμένα, ὅπου ᾤετο τὸν πάππον ὄψεσθαι. Ὁ δὲ
Ἀστυάγης ἄρα εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε
ἡδέως, ὅσα σὺ δίδως, οὐ μέντοι δέομαί γε τούτων οὐδε-
νός, ὥστε σε κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη, Εἰ τοίνυν μὴ
σὺ δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτά, ὅπως τοῖς ἡλι-
κιώταις ἐγὼ διαδῶ. Ἀλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ
ταῦτα λαβὼν διαδίδου, ὅτῳ σὺ βούλει, καὶ τῶν ἄλλων,
ὁπόσα ἐθέλεις. Καὶ ὁ Κῦρος λαβὼν ἐδίδου τε ἄρας τοῖς 9
παισὶ καὶ ἅμα ἔλεγεν, Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν,
ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον ἔμοιγε
δοκεῖ εἶναι, οἷόνπερ, εἴ τις δεδεμένα ζῷα θηρῴη. Πρῶ-
τον μὲν γὰρ ἐν μικρῷ χωρίῳ ἦν, ἔπειτα λεπτὰ καὶ ψωρα-
λέα, καὶ τὸ μὲν αὐτῶν χωλὸν ἦν, τὸ δὲ κολοβόν· τὰ δ' ἐν
τοῖς ὄρεσι καὶ λειμῶσι θηρία ὡς μὲν καλά, ὡς δὲ μεγάλα,
ὡς δὲ λιπαρὰ ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι ὥσπερ πτηναὶ
ἥλλοντο πρὸς τὸν οὐρανόν, οἱ δὲ κάπροι ὥσπερ τοὺς ἄν-
δρας φασὶ τοὺς ἀνδρείους ὁμόσε ἐφέροντο· ὑπὸ δὲ τῆς

---

*ταῦτα χάρισαί μοι*] κάμε μου ταύτην τὴν χάριν.—*τελευτῶν*] ἐπὶ τέλους.

§ 8. *ἐκείνῳ*] χάριν ἐκείνου, δηλ. τοῦ πάππου.—*τὸν πάππον ὄψεσθαι*] ὅτι ὁ πάππος του θά τα ἴδῃ.—*δός*] σημαίνει παράκλησιν, ἥτις ἐπιτείνεται διὰ τοῦ προηγουμένου ἱκετεύω.—*διαδῶ*] διαμοιράσω.—*ὅτῳ σὺ βούλει*] εἰς ὁποιονδήποτε σὺ θέλεις.—*καὶ τῶν ἄλλων*] θηρίων.

§ 9. *ὡς ἄρα ἐφλυαροῦμεν*] πόσον λοιπὸν ἐματαιοπονοῦμεν.—*οἷόν περ εἴ τις*] ὡς ἐάν τις.—*ἐν μικρῷ χωρίῳ*] ἐντὸς μικροῦ τόπου, δηλ. τοῦ κήπου.—*ὡς καλά*] πόσον ὡραῖα.—*ὥσπερ πτηναί*] ὡς πετόμεναι, σὰν νὰ ἐπετοῦσαν.—*ἥλλοντο*] ἐπήδων· τὸ ῥ. ἅλλομαι—*ὁμόσε ἐφέροντο*] ἐφώρμων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τ᾿ ἦν αὐτῶν· καλλίω δή, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα εἶναι ταῦτα ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα. Ἀλλ᾿ ἆρα ἄν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ θήραν ; Καὶ ῥᾳδίως γ᾿ ἄν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. Καὶ ὁ Κῦρος εἶπε, Τίς οὖν
10 ἂν ἡμῖν Ἀστυάγει μνησθείη ; Τίς γὰρ ἄν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι ; Ἀλλὰ μὰ τὸν Δία, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ᾿, ὅστις ἄνθρωπος γεγένημαι· οὐδὲ γὰρ οἷός τ᾿ εἰμὶ λέγειν ἔγωγε οὐδ᾿ ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι. Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι βλάξ τις καὶ ἠλίθιος γένωμαι· παιδάριον δ᾿ ὢν δεινότατος λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες εἶπον. Πονηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδ᾿ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ, δυνήσῃ πράττειν, ἀλλ᾿ ἄλλου τινὸς τὸ ἐπὶ σὲ ἀνάγ-
11 κη ἔσται δεῖσθαι ἡμᾶς. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος ἐδή-

---

ἐπετίθεντο.—*ὑπὸ δὲ τῆς πλατύτητος*] ἕνεκα δὲ τοῦ πλάτους τοῦ σώματός των ἀντιθέτως πρὸς τὰ ἐν τῷ παραδείσῳ *λεπτὰ καὶ ψωραλέα*.—*οἷόν τ᾿ ἦν*] ἦτο δυνατόν.—*τὰ περιῳκοδομημένα*] τὰ περιτειχισμένα ἐν τῷ παραδείσῳ.—*ἂν ἀφεῖεν*] ἤθελον ἀφήσῃ· τοῦ ἀφίημι.—*καὶ ῥᾳδίως γ᾿ ἄν*] ἐνν. ἀφεῖεν.

§ 10. *ἡμῖν*] δοτ. χαριστική.—*ἂν μνησθείη*] ἤθελεν εἴπῃ τοῦτο εἰς τὸν Ἀστ.—*τίς γὰρ ἄν*] ἐνν. εἴη. αἰτιολογεῖ ἐννοουμένην πρότασιν, τῆς ὁποίας ἡ ἔννοια εἶναι· δὲν ἔπρεπε σὺ νὰ ἐρωτήσῃς τοῦτο.—*ὅστις ἄνθρωπος γεγένημαι*] τί ἄνθρωπος ἔχω γείνῃ· πλαγία ἐρώτησις.—*ἀναβλέπειν πρὸς τὸν πάππον*] νὰ σηκώνω τὰ μάτια μου πρὸς τὸν πάππον μου, δηλ. νὰ κυττάζω κατὰ πρόσωπον τὸν πάππον μου.—*ἐκ τοῦ ἴσου*] ὁμοίως, καθὼς πρότερον.—*τοσοῦτον ἐπιδιδῶ*] τόσον προοδεύω, προχωρῶ, ὅσον ἕως τώρα.—*βλάξ τις*] τὸ τὶς ἐπιτείνει τὴν σημασίαν τοῦ βλάξ.—*παιδάριον δ᾿ ὤν*] ἐνῷ ὅταν ἤμην παιδάριον.—*πονηρὸν λέγεις τὸ πρᾶγμα*]=πονηρόν ἐστι τὸ πρᾶγμα, ὅπερ λέγεις· πονηρὸν=κακόν, δυσάρεστον —*τὸ ἐπὶ σέ*] ὡς πρὸς τὸ ἀποβλέπον εἰς σέ, δι᾿ ἐκεῖνο ποῦ ἔρχεται εἰς σὲ (ποῦ ἁρμόζει σὺ) νά το κάμῃς.

§ 11. *ἐδήχθη*] τοῦ δάκνομαι· ἐφειδοδαγκώθη, ἐπειράχθη.—*τολμᾶν*] νὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*χθῃ καὶ σιγῇ ἀπελθὼν διακελευσάμενος ἑαυτῷ τολμᾶν εἰσῆλθεν ἐπιβουλεύσας, ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισίν, ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε.*

*Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδρᾷ σε τῶν οἰκετῶν καὶ λάβῃς αὐτόν, τί αὐτῷ χρήσῃ; Τί ἄλλο, ἔφη, ἢ δήσας ἐργάζεσθαι ἀναγκάσω; Ἢν δὲ αὐτόματος πάλιν ἔλθῃ, πῶς ποιήσεις; Τί δέ, ἔφη, εἰ μὴ μαστιγώσας γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἐξ ἀρχῆς χρήσομαι; Ὥρα ἄν, ἔφη ὁ Κῦρος, σοὶ παρασκευάζεσθαι εἴη, ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαί γε, ὅπως σε ἀποδρῶ λαβὼν τοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν γάρ, ἔφη, ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γάρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυγατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι.* 12 *Ἀκούσας ταῦτα ὁ Κῦρος ἐπείθετο μὲν καὶ ἔμενεν, ἀνιαρὸς δὲ καὶ σκυθρωπὸς ὢν σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς βουλόμενος αὐτῷ χαρίζεσθαι ἐξάγει ἐπὶ θήραν καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας καὶ*

---

ἔχῃ τόλμην.—*ἐπιβουλεύσας*] σκεφθείς.—*ὅπως ἂν ἀλυπότατα εἴποι*] πλαγία ἐρώτησις· πῶς ἦτο δυνατὸν νά το εἴπῃ εἰς τὸν πάππον του χωρὶς διόλου νὰ τὸν ἐνοχλήσῃ.—*καὶ διαπράξειεν*] καὶ πῶς ἦτο δυνατὸν νὰ ἐπιτύχῃ, νὰ κατορθώσῃ.—*ὧν*]=ταῦτα, ὧν.—*καὶ λάβῃς*] καὶ συλλάβῃς αὐτόν.—*τί αὐτῷ χρήσῃ*] πῶς θά τον μεταχειρισθῇς; τί θά τον κάμῃς;—*τί ἄλλο*] ἐνν. χρήσομαι αὐτῷ.—*αὐτόματος*] μόνος του.—*πάλιν*] ὀπίσω.—*εἰ μή*]=ἤ, παρά.—*ἐξ ἀρχῆς*] ἐκ νέου.—*ὅτῳ*] τίνι τρόπῳ.—*ὡς*] διότι.—*καλῶς ἐποίησας προειπών*] καλὰ ἔκαμες καὶ μού το εἶπες πρότερον.—*χαρίεν γάρ*] ἐνν. ἂν εἴη: πολὺ εὐχάριστον ἤθελεν εἶναι· εἰρωνικῶς.—*κρεαδίων*] τὸ ὑποκοριστικὸν σημαίνει καταφρόνησιν.—*ἀποβουκολήσαιμι*] κατὰ μεταφορὰν ἐκ τῶν ποιμνίων· ἤθελον ἀφήσῃ νὰ χαθῇ ὁ υἱὸς τῆς θυγατρός μου.

§ 12. *ἀνιαρός*] λυπημένος· γραμμ. § 37, σημ. 2, β΄.—*συναλίσας*] συναθροίσας.—*συνελ.σας*] συνελαύνω· ἀφοῦ διώκων συνήθροισεν.—*ἱππά-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς παῖδας καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ θηρία ἐποίησε μεγάλην θήραν. Καὶ βασιλικῶς δὴ παρὼν αὐτὸς ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησθείη θηρῶν. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν, ἀλλ', Εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με θηρᾶν, ἄφες τοὺς κατ' ἐμὲ πάντας διώκειν καὶ διαγωνίζεσθαι, ὅπως ἕκαστος κράτιστα
13 δύναιτο. Ἐνταῦθα δὴ ὁ Ἀστυάγης ἀφίησι καὶ στὰς ἐθεᾶτο ἁμιλλωμένους ἐπὶ τὰ θηρία καὶ φιλονικοῦντας καὶ διώκοντας καὶ ἀκοντίζοντας. Καὶ Κύρῳ ἥδετο οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ σκύλακι γενναίῳ ἀνακλάζοντι, ὁπότε πλησιάζοι θηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν ηὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα [αὐτὸν ᾐσθάνετο] οὐδ' ὁπωστιοῦν φθονερῶς. Τέλος δ' οὖν πολλὰ θηρία ἔχων ὁ Ἀστυάγης ἀπῄει. Καὶ τὸ λοιπὸν οὕτως ἥσθη τῇ τότε θήρᾳ, ὥστε ἀεί, ὁπότε οἷόν τ' εἴη, συνεξῄει τῷ Κύρῳ καὶ ἄλλους τε πολλοὺς παρελάμβανε καὶ τοὺς παῖδας Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενός.

---

*σιμα*] τὰ κατάλληλα δι' ἱππασίαν.—*βασιλικῶς ἀπηγόρευε*] διότι παρόντος τοῦ βασιλέως εἰς οὐδένα ἐπετρέπετο νὰ κτυπήσῃ θηρίον πρὸ αὐτοῦ· τώρα ἐπιτρέπει τοῦτο εἰς τὸν Κῦρον ὁ Ἀστ.—*πρὶν Κῦρος ἐμπλησθείη θηρῶν*] πρὶν χορτάσῃ ὁ Κ. κυνηγῶν.—*τοὺς κατ' ἐμέ*] τοὺς ὁμήλικάς μου.

§ 13. *ἐνταῦθα*] τότε. *ἐθεᾶτο*] ἐνν. αὐτούς, δηλ. τὸν Κῦρον καὶ τοὺς ὁμήλικάς του.—*ἁμιλλωμένους ἐπὶ τὰ θηρία*] μὲ ἅμιλλαν ὁρμῶντας κατὰ τῶν θηρίων.—*φιλονικοῦντας*] φιλοτιμουμένους.—*οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς*] διότι δὲν ἠδύνατο νὰ σιωπᾷ ἀπὸ τὴν εὐχαρίστησιν.—*ὥσπερ σκύλακι*] καθ' ἕλξιν ἀντὶ ὥσπερ σκύλαξ.—*ἀνακλάζοντι*] ὁ ὁποῖος γαυγίζει.—*ὁπότε πλησιάζοι*] ὁσάκις ἐπλησίαζεν.—*ἕκαστον*] τῶν ὁμηλίκων του.—*τοῦ μέν*] ἄλλον μέν.—*οὐδ' ὁπωστιοῦν*] οὐδὲ κατ' ἐλάχιστον.—*τὸ λοιπόν*] ἐπίρρ. εἰς τὸ ἑξῆς.—*ἥσθη*] τοῦ ἥδομαι.—*ὁπότε οἷόν τ' εἴη*] ἐνν. συνεξιέναι· ὁσάκις ἦτο δυνατόν.—*Κύρου ἕνεκα*] χάριν τοῦ Κύρου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη γενομένου αὐτοῦ ὁ 14
υἱὸς τοῦ Ἀσσυρίων βασιλέως γαμεῖν μέλλων ἐπεθύμησεν
αὐτὸς θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν ἐν
τοῖς μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θη-
ρία εἶναι ἀθήρευτα διὰ τὸν πόλεμον ἐνταῦθα ἐπεθύμησεν
ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέ-
λαβε πολλοὺς καὶ πελταστάς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν
λασίων τὰ θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὐήλατα.
Ἀφικόμενος δέ, ὅπου ἦν αὐτοῖς τὰ φρούρια καὶ ἡ φυ-
λακή, ἐνταῦθα ἐδειπνοποιεῖτο, ὡς πρῳ τῇ ὑστεραίᾳ θη-
ράσων. Ἤδη δὲ ἑσπέρας γενομένης ἡ διαδοχὴ τῇ πρόσ- 15
θεν φυλακῇ ἔρχεται ἐκ πόλεως καὶ ἱππεῖς καὶ πεζοί.
Ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι· δύο γὰρ ὁμοῦ
ἦσαν φυλακαί, πολλούς τε αὐτὸς ἧκεν ἔχων ἱππέας καὶ
πεζούς. Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ
τῆς Μηδικῆς καὶ λαμπρότερόν τ' ἂν φανῆναι τὸ ἔργον τῆς
θήρας καὶ ἱερείων ἂν πολλὴν ἀφθονίαν ἐνόμιζε γενέσθαι.
Οὕτω δὴ πρῳ ἀναστὰς ἦγε τὸ στράτευμα καὶ τοὺς μὲν
πεζοὺς κατέλιπεν ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ
τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια τοὺς

---

§ 14. *ἀμφὶ τὰ ... ἔτη*] περίπου 15 ἢ 16 ἐτῶν.—*πέντε*]=πεντεκαίδεκα.—*διὰ τὸν πόλεμον*] ἕνεκα τοῦ πολέμου τῶν Ἀσσυρίων πρὸς τοὺς Μήδους.—*ἐνταῦθα*] ἐκεῖ, εἰς τὰ μεθόρια.—*ὅπως ... θηρῴη*] τελικὴ πρότασις· συντ. § 55, 1.—*αὐτῷ*] χάριν αὐτοῦ.—*ἐκ τῶν λασίων*] ἔξω ἀπὸ τὰ δασώδη. *ἐξελᾶν*]=ἐξελαύνειν. νὰ ἐκδιώκωσιν.—*ἐργάσιμα*] καλλιεργήσιμα.—*εὐήλατα*]=ἱππάσιμα.—*αὐτοῖς*] τοῖς Ἀσσυρίοις.

§ 15. *ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ*]=οἱ διάδοχοι τῶν προτέρων φυλάκων.—*καὶ ἱππεῖς καὶ πεζοί*] ἐπεξήγησις τοῦ διαδοχή· σχῆμα κατὰ σύνεσιν.—*δύο φυλακαί*] ἡ πρόσθεν καὶ ἡ διάδοχος.—*λεηλατῆσαι*] νὰ πάρῃ λάφυρα. *ἂν φανῆναι*]=ὅτι φανείη ἄν.—*τὸ ἔργον*] τὸ λεηλατῆσαι.—*τῆς θήρας*] παρὰ τὸ κυνήγιον.—*ἱερείων*] ζῴων πρὸς θυσίαν.—*ἂν...γενέ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ ἑαυτοῦ ἐνταῦθα κατέμεινεν, ὥς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας, τοὺς δ᾽ ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοσε καταθεῖν καὶ ἐκέλευε περιβαλομένους, ὅτῳ τις ἐπιτυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

16 Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν τῇ χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους καὶ τοὺς ἱππέας ἡσυχίαν ἔχοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδί ἐκβοηθεῖ· καὶ αὐτὸς πρῶτον τότε ὅπλα ἐνδὺς οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς ἐξοπλίσασθαι· μάλα δὲ καλὰ ἦν καὶ ἁρμόττοντα αὐτῷ, ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. Οὕτω δὲ ἐξοπλισάμενος προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀστυάγης ἐθαύμασε μέν, τίνος

---

*σθαι*] ὅτι γένοιτο ἂν πολλὴ ἀφθονία.—*τοῖς ἵπποις*]=σὺν τοῖς ἱππεῦσιν, μὲ τὸ ἱππικόν. – *προσελάσας*] πλησιάσας.—*ὡς μὴ βοηθοῖεν*] ἵνα μὴ τρέχωσι πρὸς ἄμυναν.—*ἐπὶ τοὺς καταθέοντας*] κατὰ τῶν πρὸς λεηλασίαν ἐρχομένων Ἀσσυρίων.—*τοὺς ἐπιτηδείους*] τοὺς φίλους.—*κατὰ φυλάς*] καθ' ὁμάδας· ἡ κατὰ σημαίνει χωρισμόν. – *περιβαλομένους*] περικυκλοῦντας.—*ὅτῳ τις ἐπιτυγχάνοι*] ὅ,τιδήποτε ἕκαστος ἀπήντα.

§ 16. *σημανθέντων*] = σημανθέντων πολεμίων, ὅτι εἰσὶν ἐν τῇ χώρᾳ· ὅτε ἀνηγγέλθη εἰς τὸν Ἀστ. ὅτι κλπ. - *ἐξεβοήθει*] ἐξῆλθε πρὸς ἄμυναν.—*σὺν τοῖς παρατυχοῦσιν ἱππόταις*] μαζὶ μὲ τοὺς ἱππεῖς, οἵτινες ἔτυχε νὰ ἦναι παρόντες.—*ἀνθρώπους*] δηλ. πεζούς.—*πασσυδί*] ἐπίρ. πάντας σπεύδοντας.—*πρῶτον*] ἐπίρ. πρώτην φοράν.—*οὔποτε οἰόμενος*] ἐνν. ὅπλα ἐνδῦναι ἐκ τοῦ ὅπλα ἐνδύς· ἐνῷ ποτὲ δέν το ἐστοχάζετο, δέν το ἐπίστευεν.—*οὕτως*] τόσον πολύ.—*ἐθαύμασεν*] ἠπόρησεν.—*τίνος κελεύ-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κελεύσαντος ἥκοι, ὅμως δὲ εἶπεν αὐτῷ μένειν παρ' ἑαυτόν. Ὁ δὲ Κῦρος ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, 17
Ἦ οὗτοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; Κἀκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στῖφος τῶν ἱππέων ἕστηκε συντεταγμένον; οἳ ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται ἡμᾶς πάλιν [ἐκεῖνοι]· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦντας, φοβήσονται οὗτοι καὶ οὐ κινήσονται, οἱ δ' ἄγοντες εὐθὺς ἀφήσουσι τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

Ταῦτ' εἰπόντος αὐτοῦ ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. 18
Καὶ ἅμα θαυμάζων, ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κε-

---

*σαντος ἥκοι*] κατὰ διαταγὴν τίνος εἶχεν ἔλθῃ· πλαγία ἐρώτησις.—*μένειν παρ' ἑαυτόν*] κατὰ βραχυλογίαν ἀντὶ ἐλθόντα παρ' ἑαυτὸν μένειν παρ' ἑαυτῷ.

§ 17. *ἀντίους*] ἀντικρύ.—*ἦ*] ἀληθῶς.—*ἐφεστήκασι*] στέκονται μὲ τοὺς ἵππους.—*μέντοι*] βέβαια.—*ἀλλ' οὖν*] ἀλλὰ τῷ ὄντι.—*πονηροὶ φαινόμενοι*] ἂν καὶ φαίνονται ἄθλιοι.—*ἱππαρίων*] καταφρονητικῶς· ἰδὲ γραμμ. § 107.—*ἄγουσιν*]=ἀπάγουσιν, ἁρπάζουσιν.—*τὰ χρήματα*] τὰ πράγματα ἡμῶν.—*ἐπ' αὐτούς*] ἐναντίον αὐτῶν.—*ὅσον τὸ στῖφος ἕστηκεν*]=ὅσον (πόσον) ἐστὶ τὸ στῖφος, ὃ ἕστηκεν.—*ὑποτεμοῦνται*] θὰ μᾶς κόψουν τὸν δρόμον.—*πάλιν*] ὀπίσω.—*ἐκεῖνοι*] ἐπεξήγησις τοῦ οἵ.—*ἡ ἰσχύς*] ἡ δύναμις τὸ κύριον σῶμα τοῦ στρατοῦ.—*φοβήσονται*] μέσ. μέλ. μὲ παθητ. σημασίαν· ἰδὲ γραμμ. § 76, 3, α'.—*οὗτοι*] οἱ πολέμιοι —*οἱ δ' ἄγοντες*] οἱ δὲ λεηλατοῦντες.

§ 18. *ταῦτ' εἰπόντος*] ἀντὶ ταῦτ' εἰπών.—*τι λέγειν*] ὅτι ἔλεγεν κἄτι ἀξιόλογον.—*ἐφρόνει*] εἶχε φρόνησιν.—*ἐγρηγόρει*] ἦτο γρυπνος, προσεκτι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λεύει τὸν υἱὸν λαβόντα τάξιν ἱππέων ἐλαύνειν ἐπὶ τοὺς ἄγοντας τὴν λείαν. Ἐγὼ δέ, ἔφη, ἐπὶ τούσδε, ἢν ἐπὶ σὲ κινῶνται, ἐλῶ, ὥστε ἀναγκασθήσονται ἡμῖν προσέχειν τὸν νοῦν. Οὕτω δὴ ὁ Κυαξάρης λαβὼν τῶν ἐῤῥωμένων ἵππων τε καὶ ἀνδρῶν προσελαύνει. Καὶ ὁ Κῦρος ὡς εἶδεν ὁρμωμένους, ἐξορμᾷ καὶ αὐτὸς πρῶτος ἡγεῖτο ταχέως καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο καὶ οἱ ἄλλοι δὲ οὐκ ἀπελείποντο. Ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ λεηλατοῦντες, εὐθὺς
19 ἀφέντες τὰ χρήματα ἔφευγον. Οἱ δ' ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο καὶ οὓς μὲν κατελάμβανον, εὐθὺς ἔπαιον, πρῶτος δὲ ὁ Κῦρος, ὅσοι δὲ παραλλάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τούτους ἐδίωκον καὶ οὐκ ἀνίεσαν, ἀλλ' ᾕρουν τινὰς αὐτῶν. Ὥσπερ δὲ κύων γενναῖος ἄπειρος ἀπρονοήτως φέρεται πρὸς κάπρον, οὕτω καὶ ὁ Κῦρος ἐφέρετο μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισκόμενον, ἄλλο δ' οὐδὲν προνοῶν. Οἱ δὲ πολέμιοι ὡς ἑώρων πονοῦντας τοὺς σφετέρους, προυκίνησαν τὸ στῖφος ὡς παυσομένους τοῦ διωγμοῦ,
20 ἐπεὶ σφᾶς ἴδοιεν προορμήσαντας. Ὁ δὲ Κῦρος οὐδὲν μᾶλ-

---

κός· γραμμ. § 70 —*τάξιν ἱππέων*]=ἴλην.—*ἐλῶ*] μέλ. τοῦ ἐλαύνω· θὰ ἐπιτεθῶ·—*ἐῤῥωμένων*] ῥωμαλέων.—*ἵππων τε καὶ ἀνδρῶν*] ἀντικμ. τοῦ λαβὼν κατὰ γεν. διαιρετικήν.—*ἡγεῖτο*] προηγεῖτο.—*ἐφείπετο*] ἠκολούθει κατόπιν.—*οὐκ ἀπελείποντο*] δὲν ἔμενον ὀπίσω. ἐπηκολούθουν.—*πελάζοντας*] πλησιάζοντας.—*τὰ χρήματα*] τὰ πράγματα:

§ 19. *οἱ ἀμφὶ τὸν Κῦρον*] ὁ Κῦρος κα ἰοἱ περὶ αὐτόν.—*ὑπετέμνοντο*] αὐτούς δηλ. τοὺς φεύγοντας· προσεπάθουν νά τους κόψουν τὸν δρόμον.—*πρῶτος δὲ ὁ Κῦρος*] ἐνν. ἔπαιεν.—*παραλλάξαντες ἔφθασαν*] ἐπρόφθασαν καὶ ἐπροπέρασαν· συντ. § 44, 6', 2.—*αὐτῶν*] γεν. διαιρετικὴ τοῦ ὅσοι.—*οὐκ ἀνίεσαν*] ἐνν. διώκοντες· δὲν ἔπαυον νά τους καταδιώκωσιν· τὸ ῥ. ἀνίημι·—*κύων γενναῖος*] ἐκ καλοῦ γένους.—*πονοῦντας τοὺς σφετέρους*] ὅτι ὑπέφερον οἱ ἰδικοί των.—*ὡς παυσομένους*] νομίζοντες ὅτι θὰ παύσωσιν οἱ περὶ τὸν Κῦρον ἀπὸ τὸν διωγμόν· αἰτ. ἀπόλυτος· ἰδὲ συντ. § 46, 6'.

§ 20. *ἀνίει*] παρατ. τοῦ ἀνίημι· ἔπαυε τὸν διωγμόν.—*ὑπὸ τῆς χαρμο-*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*λον ἀνίει, ἀλλ' ὑπὸ τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον*
*ἐδίωκε καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις κατέχων*
*ἐποίει, καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο ἴσως καὶ αἰσχυ-*
*νόμενος τὸν πατέρα καὶ οἱ ἄλλοι δὲ εἵποντο προθυμότεροι*
*ὄντες ἐν τῷ τοιούτῳ εἰς τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς*
*τοὺς ἐναντίους ἄλκιμοι ὄντες. Ὁ δὲ Ἀστυάγης ὡς ἑώρα*
*τοὺς μὲν ἀπρονοήτως διώκοντας, τοὺς δὲ πολεμίους ἀθρό-*
*ους τε καὶ τεταγμένους ὑπαντῶντας, δείσας περί τε τοῦ*
*υἱοῦ καὶ τοῦ Κύρου, μὴ εἰς παρεσκευασμένους ἀτάκτως*
*ἐμπεσόντες πάθοιέν τι, ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους.*
*Οἱ δ' αὖ πολέμιοι ὡς εἶδον τοὺς Μήδους προκινηθέντας,* 21
*διατεινάμενοι οἱ μὲν τὰ παλτά, οἱ δὲ τὰ τόξα εἱστήκεσαν*
*ὡς αὖ, ἐπειδὴ εἰς τόξευμα ἀφίκοιντο, στησομένους, ὥσ-*
*περ τὰ πλεῖστα εἰώθεσαν ποιεῖν. Μέχρι γὰρ τοσούτου,*
*ὁπότε ἐγγύτατα γένοιντο, προσήλαυνον ἀλλήλοις καὶ ἠκρο-*
*βολίζοντο πολλάκις μέχρι ἑσπέρας. Ἐπεὶ δὲ ἑώρων τοὺς*

---

*νῆς*] ἕνεκα τῆς χαρᾶς.—*κατέχων*] ἐπιμόνως διώκων, πιέζων.—*καὶ αἰσχυνόμενος*] καὶ δι' ἄλλους λόγους καὶ διότι ἴσως ἐντρέπετο τὸν πατέρα του.—*ἐν τῷ τοιούτῳ*] ἐν τῇ τοιαύτῃ περιστάσει.—*προθυμότεροι ὄντες*] ἀντὶ γεν. ἀπολύτου προθυμοτέρων ὄντων.—*οἱ μὴ ὄντες*]=εἴ τινες μὴ ἦσαν.—*μὴ πάνυ ἄλκιμοι*] ὄχι πολὺ ἀνδρεῖοι, κατὰ σχῆμα λιτότητος ἀντὶ δειλοί.—*τοὺς μὲν*] τούτους μέν, δηλ. τοὺς ἰδικούς του.—*καὶ τεταγμένους*] καὶ ἐν τάξει.—*ὑπαντῶντας*] ὅτι τοὺς ὑπεδέχοντο, ἀνθίσταντο.—*δείσας*] φοβηθείς· τὸ ῥ. δέδια· γραμμ. § 87, 2.—*μὴ πάθοιέν τι*] μήπως πάθωσι τίποτε, κακὸν δηλ. κατ' εὐφημισμὸν ἀντὶ τοῦ ἀποθάνοιεν. τὸ ὑποκμ. ὁ υἱὸς καὶ ὁ Κῦρος ἐτέθη κατὰ σχῆμα προλήψεως ὡς προσδιορισμὸς ἐν τῇ κυρίᾳ προτάσει, περί τε τοῦ υἱοῦ καὶ τοῦ Κύρου.

§ 21. *οἱ δ' αὖ πολέμιοι*] ἀφ' ἑτέρου δὲ οἱ ἐχθροί.—*προκινηθέντας*] ὅτι ἐκινήθησαν πρὸς τὰ ἐμπρός.—*διατεινάμενοι*] ὑψώσαντες.—*εἰς τόξευμα*] μέχρι βολῆς τόξου.—*ὡς στησομένους*] νομίζοντες, ὅτι θὰ σταθῶσιν οἱ Μῆδοι.—*τὰ πλεῖστα*] ἐπίρ. τὰς πλείστας φοράς.—*μέχρι τοσούτου*] μέχρι τόσης ἀποστάσεως, δηλ. μέχρι τοξεύματος.—*ὁπότε...γένοιντο*] ὁσάκις ἤρχοντο



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*μὲν σφετέρους φυγῇ εἰς ἑαυτοὺς φερομένους, τοὺς δ' ἀμφὶ τὸν Κῦρον ἐπ' αὐτοὺς ὁμοῦ ἀγομένους, τὸν δὲ Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γιγνόμενον ἤδη τοξεύματος, ἐκκλίνουσι καὶ φεύγουσιν ὁμόθεν διώκοντας ἀνὰ κράτος· ᾕρουν δὲ πολλούς· καὶ τοὺς μὲν ἁλισκομένους ἔπαιον καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ πίπτοντας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστησαν, πρὶν πρὸς τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. Ἐνταῦθα μέντοι δείσαντες, μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέσχον.*

22 *Ἐκ τούτου δὴ ἀνῆγεν ὁ Ἀστυάγης μάλα χαίρων καὶ τῇ ἱπποκρατίᾳ καὶ τὸν Κῦρον οὐκ ἔχων, ὅ,τι χρὴ λέγειν, αἴτιον μὲν ὄντα εἰδὼς τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε μόνος τῶν ἄλλων ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων ἐθεᾶτο καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο ταχθέντες προσήγαγον τῷ Ἀστυάγει μάλα ἐπίπροσθεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ.*

---

συντ. § 53, 2.—*ἐντὸς τοξεύματος*] ἐντὸς βολῆς τόξου.—*ὁμόθεν*] ἐκ τοῦ πλησίον.—*ἀνὰ κράτος*] μὲ ὅλην των τὴν δύναμιν.—*ᾕρουν*] οἱ περὶ τὸν Ἀστυάγην.—*κατέκαινον*] ἐφόνευον.—*μὴ ἐνέδρα τις μείζων*] μήπως καὶ ἐνεδρεύωσι περισσότεροι ἐχθροὶ παρ' ὅσους ἕως τότε ἔβλεπον.—*ἐπέσχον*] ἐστάθησαν.

§ 22. *ἐκ τούτου*] μετὰ τοῦτο.—*ἀνῆγεν*] ἀνεχώρει.—*ὅ,τι χρὴ λέγειν*] πλαγία ἐρώτησις ἐκ τοῦ οὐκ ἔχων.—*αἴτιον μὲν ὄντα τοῦ ἔργου*] ὅτι ἦτο μὲν αἴτιος τοῦ ἔργου δηλ. τῆς νίκης.—*μαινόμενον δέ*] ἀλλ' ἔκαμνε σὰν τρελλός.—*τῇ τόλμῃ*] διὰ τὴν τόλμην του.—*καὶ γὰρ τότε*] διότι καὶ τότε ἀκόμη.—*ἀπιόντων*] ἐνῷ ἀπήρχοντο.—*μόνος τῶν ἄλλων*] μόνος ἐκεῖνος (ὁ Κ.) χωριστὰ ἀπὸ τοὺς ἄλλους, ἤτοι ὄπισθεν ὅλων.—*οὐδὲν ἄλλο*] ἐνν. ἐποίει.—*τοὺς πεπτωκότας*] τοὺς φονευμένους.—*μόλις*] μετὰ δυσκολίας.—*ἐπὶ τῇ θέᾳ*] διὰ τὴν θέαν του, δηλ. διότι μόνος τῶν ἄλλων τοὺς πεπτωκότας ἐθεᾶτο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο καὶ οἵ τε ἄλλοι* 23
*πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν*
*ᾠδαῖς ὅ τε Ἀστυάγης καὶ πρόσθεν τιμῶν αὐτὸν τότε ὑπερ-*
*εξεπέπληκτο ἐπ' αὐτῷ. Καμβύσης δὲ ὁ τοῦ Κύρου πα-*
*τὴρ ἥδετο μὲν πυνθανόμενος ταῦτα, ἐπεὶ δ' ἤκουσεν ἔργα*
*ἀνδρὸς ἤδη διαχειριζόμενον τὸν Κῦρον ἀπεκάλει δή, ὅπως*
*τὰ ἐν Πέρσαις ἐπιχώρια ἐπιτελοίη. Καὶ ὁ Κῦρος δὲ ἐνταῦθα*
*λέγεται εἰπεῖν, ὅτι ἀπιέναι βούλοιτο, μὴ ὁ πατήρ τι ἄ-*
*χθοιτο καὶ ἡ πόλις μέμφοιτο. Καὶ τῷ Ἀστυάγει δὲ ἐδόκει*
*εἶναι ἀναγκαῖον ἀποπέμπειν αὐτόν. Ἔνθα δὴ ἵππους τε*
*αὐτῷ δούς, οὓς αὐτὸς ἐπεθύμει λαβεῖν, καὶ ἄλλα συσκευ-*
*άσας πολλὰ ἔπεμπε καὶ διὰ τὸ φιλεῖν αὐτὸν καὶ ἅμα ἐλ-*
*πίδας ἔχων μεγάλας ἐν τῷ ἄνδρα ἔσεσθαι ἱκανὸν καὶ φί-*
*λους ὠφελεῖν καὶ ἐχθροὺς ἀνιᾶν. Ἀπιόντα δὲ τὸν Κῦρον*
*προὔπεμπον ἅπαντες καὶ παῖδες [καὶ ἥλικες] καὶ ἄνδρες*
*καὶ γέροντες ἐφ' ἵππων καὶ Ἀστυάγης αὐτὸς καὶ οὐδένα*
*ἔφασαν, ὅντιν' οὐ δακρύοντ' ἀποστρέφεσθαι. Καὶ Κῦρον* 24

---

§ 23. *διὰ στόματος εἶχον*] εἰς τὸ στόμα των εἶχον, ὡμίλουν πάντοτε περὶ αὐτοῦ.—*ὑπερεξεπέπληκτο ἐπ' αὐτῷ*] ὑπερβολικὰ εἶχεν ἐκπλαγῆ δι' αὐτόν.—*ἀπεκάλει δή*] τὸν ἐκάλει πλέον ὀπίσω.—*ἐνταῦθα*] τότε.—*μὴ ἄχθοιτο*] πλαγία ἐρώτησις ἐκ τοῦ ἐννοουμένου *δεδιώς*· συντ. § 58, 7.—*ἡ πόλις*] οἱ συμπολῖταί του, οἱ Πέρσαι.—*ἀποπέμπειν*] νά τον στείλῃ ὀπίσω.—*ἔνθα δή*] τότε λοιπόν.—*καὶ διὰ τὸ φιλεῖν αὐτὸν καὶ ἐλπίδας ἔχων*] καὶ διότι ἠγάπα αὐτὸν καὶ διότι εἶχεν ἐλπίδας.—*ἱκανὸν καὶ φίλους ὠφελεῖν καὶ ἐχθροὺς ἀνιᾶν*] ὅτι θὰ γίνῃ ἀνὴρ ἱκανὸς καὶ φίλους νὰ ὠφελῇ καὶ ἐχθροὺς νὰ βλάπτῃ· διότι οἱ παλαιοὶ ἐνόμιζον «ἀνδρὸς ἀρετὴν εἶναι νικᾶν τοὺς μὲν φίλους εὖ ποιοῦντα, τοὺς δ' ἐχθροὺς κακῶς» (Ξενφ. Ἀπ. 2, 6, 35). Πρῶτος ὁ Σωκράτης ἔφθασεν εἰς ὕψος χριστιανικῆς ἀρετῆς διδάξας «οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν (δεῖ), ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν» (Πλάτ. Κρίτ. 496).—*προὔπεμπον*] συνώδευον χάριν τιμῆς.—*καὶ οὐδένα ὅντινα*]=πάντας· τὸ δὲ οὐδένα καθ' ἕλξιν ἀντὶ τοῦ οὐδεὶς ἦν, ὅντινα.—*ἀποστρέφεσθαι*] ὅτι ἐπέστρεφεν ὀπίσω.

§ 24. *ἀποχωρῆσαι*] ὅτι ἀπῆλθεν.—*ὧν*]=τούτων ἅ.—*τινί*] εἴς τινα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ αὐτὸν λέγεται σὺν πολλοῖς δακρύοις ἀποχωρῆσαι. Πολλὰ δὲ δῶρα διαδοῦναί φασιν αὐτὸν τοῖς ἡλικιώταις, ὧν Ἀστυάγης αὐτῷ ἐδεδώκει, τέλος δὲ καὶ ἣν εἶχε στολὴν τὴν Μηδικὴν ἐκδύντα δοῦναί τινι [δῆλον ὅτι τούτῳ], ὃν μάλιστα ἠσπάζετο.

1 Κεφ. Ε΄. Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελθὼν ἐν Πέρσαις ἐνιαυτὸν λέγεται ἐν τοῖς παισὶν ἔτι γενέσθαι. Καὶ τὸ μὲν πρῶτον οἱ παῖδες ἔσκωπτον αὐτὸν ὡς ἡδυπαθεῖν ἐν Μήδοις μεμαθηκὼς ἥκοι· ἐπεὶ δὲ καὶ ἐσθίοντα αὐτὸν ἑώρων, ὥσπερ καὶ αὐτοί, ἡδέως καὶ πίνοντα καὶ εἴ ποτ᾽ ἐν ἑορτῇ εὐωχία γένοιτο, ἐπιδιδόντα μᾶλλον αὐτὸν τοῦ ἑαυτοῦ μέρους ᾐσθάνοντο ἢ προσδεόμενον καὶ πρὸς τούτοις δὲ τἆλλα κρατιστεύοντα αὐτὸν ἑώρων ἑαυτῶν, ἐνταῦθα δὴ πάλιν ὑπέπτησσον αὐτῷ οἱ ἥλικες. Ἐπεὶ δὲ διελθὼν τὴν παιδείαν ταύτην ἤδη εἰσῆλθεν εἰς τοὺς ἐφήβους, ἐν τούτοις αὖ ἐδόκει κρατιστεύειν καὶ μελετῶν, ἃ χρῆν, καὶ καρτερῶν καὶ αἰδούμενος τοὺς πρεσβυτέρους καὶ πειθόμενος τοῖς ἄρχουσιν.

2 Προϊόντος δὲ τοῦ χρόνου ὁ μὲν Ἀστυάγης ἐν τοῖς Μήδοις ἀποθνῄσκει, ὁ δὲ Κυαξάρης ὁ τοῦ Ἀστυάγους παῖς,

---

Ἀράσπαν ὀνομαζόμενον.—*ἠσπάζετο*] ἠγάπα.

Κεφ. Ε΄. § 1. *ἐν τοῖς παισὶν*] εἰς τὴν τάξιν τῶν παίδων.—*ἥκοι*] εἶχεν ἔλθει.—*ὥσπερ καὶ αὐτοί*] ἐνν. ἤσθιον καὶ ἔπινον.—*ἡδέως*] μὲ ὄρεξιν.—*εἴ ποτε γένοιτο*] ὁσάκις ἐγίνετο· συντ. § 57, 3.—*ἐπιδιδόντα*] ὅτι ἔδιδε προσέτι.—*τοῦ ἑαυτοῦ μέρους*] ἀπὸ τὸ ἰδικόν του μερίδιον.—*κρατιστεύοντα*] ὅτι ἦτο ὑπέρτερος.—*ἐνταῦθα δὴ*] τότε πλέον.—*ὑπέπτησσον*] ἐζάρωναν, ὑπετάσσοντο εἰς αὐτόν.—*εἰς τοὺς ἐφήβους*] εἰς τὴν τάξιν τῶν ἐφήβων (18 ἐτῶν).—*ἐν τούτοις*] ἐν τῇ τάξει τούτων, δηλ. τῶν ἐφήβων.—*κρατιστεύειν*] ὅτι ἠρίστευεν.—*μελετῶν*] γυμναζόμενος.—*ἃ χρῆν*] ἐνν. μελετᾶν· γραμμ. § 85, 2.

§ 2. *προϊόντος δὲ τοῦ χρόνου*] γεν. ἀπόλυτος· ἐνῷ δὲ ἐπροχώρει ὁ χρό-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς δὲ Κύρου μητρὸς ἀδελφός, τὴν βασιλείαν ἔσχε τὴν Μήδων. Ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς ἐνόμιζεν, εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσειε, πάντων γε τῶν πέριξ ῥᾳδίως ἄρξειν· ἰσχυρότατον γὰρ τῶν ἐγγὺς φύλων τοῦτο ἐδόκει εἶναι. Οὕτω δὴ διαπέμπει πρός τε τοὺς ὑπ' αὐτὸν πάντας 3
καὶ πρὸς Κροῖσον τὸν Λυδῶν βασιλέα καὶ πρὸς τὸν Καππαδοκῶν τὰ μὲν καὶ διαβάλλων τοὺς Μήδους καὶ Πέρσας λέγων, ὡς μεγάλα τ' εἴη ταῦτα ἔθνη καὶ ἰσχυρὰ καὶ συνεστηκότα εἰς ταὐτὸ καὶ κινδυνεύσοιεν, εἰ μή τις αὐτοὺς φθάσας ἀσθενώσοι, ἐπὶ ἓν ἕκαστον τῶν ἐθνῶν ἰόντες καταστρέψασθαι. Οἱ μὲν δὴ καὶ τοῖς λόγοις τούτοις πειθόμενοι συμμαχίαν αὐτῷ ἐποιοῦντο, οἱ δὲ καὶ δώροις καὶ χρήμασιν ἀναπειθόμενοι· πολλὰ γὰρ καὶ τοιαῦτα ἦν αὐτῷ. Κυαξάρης δὲ [ ὁ τοῦ Ἀστυάγους παῖς ] ἐπεὶ ᾐσθάνετο 4
τήν τ' ἐπιβουλὴν καὶ τὴν παρασκευὴν τῶν συνισταμένων ἐφ' ἑαυτόν, αὐτός τε εὐθέως, ὅσα ἐδύνατο, ἀντιπαρεσκευάζετο καὶ εἰς Πέρσας ἔπεμπε πρός τε τὸ κοινὸν καὶ πρὸς Καμβύσην τὸν τὴν ἀδελφὴν ἔχοντα καὶ βασιλεύοντα ἐν Πέρσαις. Ἔπεμπε δὲ καὶ πρὸς Κῦρον δεόμενος αὐτοῦ

---

νος.—*τὴν βασιλείαν ἔσχε*] ἔλαβε τὴν βασιλείαν, ἔγεινε βασιλεύς.—*τοῦτο*] τὸ φῦλον τῶν Μήδων, οἱ Μῆδοι.

§ 3. *πρὸς τοὺς ὑπ' αὐτόν*] πρὸς τοὺς ὑπηκόους αὐτοῦ.—*τὸν Καππαδοκῶν*] ἐνν. βασιλέα· ὄνομα ἐθνικὸν ὁ Καππαδόκης.—*τὰ μὲν*] ἐπίρ. ἀφ' ἑνός μέν· παραλείπεται ἡ ἀπόδοσις αὐτοῦ *τὰ δέ*.—*συνεστηκότα εἰς ταὐτό*] συνηνωμένα.—*καὶ κινδυνεύσοιεν... καταστρέψασθαι*] καὶ ὅτι θὰ ἦτο κίνδυνος αὐτοί, δηλ. οἱ Μῆδοι καὶ Πέρσαι, ἐρχόμενοι ἐναντίον ἑνὸς ἑκάστου τῶν ἐθνῶν νά τα ὑποτάξωσιν.—*φθάσας ἀσθενώσοι*] προλαβὼν τοὺς ἀδυνατίσῃ· τὸ ρ ἀσθενόω=κάμνω ἄλλον ἀσθενῆ, τὸ δὲ ἀσθενέω=ἐγὼ εἶμαι ἀσθενής· συντ. § 45, 6', 2.

§ 4. *τῶν συνισταμένων ἐφ' ἑαυτόν*] τῶν συνενουμένων καθ' ἑαυτοῦ.—*πρὸς τὸ κοινόν*] πρὸς τὰς ἀρχάς, τοὺς βουλεύοντας γεραιτέρους (§ 5).—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πειρᾶσθαι ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν, εἴ τινας πέμποι στρατιώτας τὸ Περσῶν κοινόν. Ἤδη γὰρ καὶ ὁ Κῦρος διατετελεκὼς τὰ ἐν τοῖς ἐφήβοις δέκα ἔτη ἐν τοῖς τελείοις ἀνδράσιν ἦν. Οὕτω δὴ δεξαμένου τοῦ Κύρου οἱ βουλεύοντες γεραίτεροι αἱροῦνται αὐτὸν ἄρχοντα τῆς εἰς Μήδους στρατιᾶς.

---

*διατετελεκώς*] ἀφοῦ εἶχε τελειώσει.—*ἐν τοῖς τελείοις ἀνδράσιν*] εἰς τὴν τάξιν τῶν τελείων ἀνδρῶν.—*δεξαμένου Κύρου*] ἀφοῦ ἐδέχθη ὁ Κ. τὴν πρότασιν τοῦ Κυαξ. «ἄρχοντα ἐλθεῖν τῶν ἀνδρῶν».—*οἱ βουλεύοντες*] οἱ ὄντες βουλευταί.—*αἱροῦνται*] ἐκλέγουσιν.—*τῆς εἰς Μήδους στρατιᾶς*] τοῦ στρατεύματος τοῦ πεμπομένου εἰς τοὺς Μήδους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΒΙΒΛΙΟΝ Η΄.

*Κεφ. Α΄.* Τῇ μὲν δὴ ὅλῃ Περσῶν ἀρχῇ οὕτω τὴν ἀσφά- 1
λειαν κατεσκεύαζεν. Ἓν δὲ ἔγνω καὶ κράτιστον εἶναι 2
πρὸς τὴν ἑαυτοῦ ἀσφάλειαν καὶ κάλλιστον, εἰ δύναιτο ποι-
ῆσαι τοὺς κρατίστους ἑαυτῷ μᾶλλον φίλους ἢ ἀλλήλοις.
Ὡς οὖν ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρα-
σόμεθα διηγήσασθαι.

*Κεφ. Β΄.* Πρῶτον μὲν γὰρ διὰ παντὸς ἀεὶ τοῦ χρόνου 1
φιλανθρωπίαν τῆς ψυχῆς ὡς ἐδύνατο μάλιστα ἐνεφάνιζεν.
Ἕως μὲν οὖν χρήμασιν ἀδυνατώτερος ἦν εὐεργετεῖν, τῷ 2
τε προνοεῖν τῶν συνόντων καὶ τῷ προπονεῖν καὶ τῷ συνη-
δόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμε-
νος δ' ἐπὶ τοῖς κακοῖς, τούτοις ἐπειρᾶτο τὴν φιλίαν θηρεύ-

---

Βιβλ. Η΄. Κεφ. Α΄. § 2. *ἓν*] δηλ. τὸ εἰ δύναιτο κλπ. — *ἔγνω*] ἐσχημάτισε γνώμην, ἔκρινεν.

Κεφ. Β΄. § 1. *γὰρ*] δηλαδή.—*διὰ παντὸς τοῦ χρόνου*] συντ. § 31, 1, β΄.—*ἀεὶ*] πλεονασμὸς χάριν ἐμφάσεως.—*ὡς ἐδύνατο*] ἐπιτείνει τὴν σημασίαν τοῦ ὑπερθετ. μάλιστα.—*ἐνεφάνιζεν*]=ἐμφανῆ ἐποιεῖτο, ἐφανέρωνεν.

§ 2. *χρήμασιν εὐεργετεῖν*] μὲ χρήματα νὰ εὐεργετῇ.—*ἀδυνατώτερος*] ἦ ὕστερον· ὀλιγώτερον δυνατός.—*τῷ προνοεῖν*] μὲ τὸ νὰ φροντίζῃ. — *τῶν συνόντων*] περὶ τῶν ὅσους συνανεστρέφετο, περὶ τῶν φίλων του.—*καὶ τῷ προπονεῖν*] καὶ μὲ τὸ νὰ κοπιάζῃ ὑπὲρ αὐτῶν.—*συνηδόμενος μὲν . . . συναχθόμενος δὲ*] ὅτι συνέχαιρε μέν . . . συνελυπεῖτο δέ.—*τούτοις*] συγκεφαλαιοῖ μετ' ἐμφάσεως τὰ προηγούμενα «τῷ τε προνοεῖν . . . συναχθόμενος δὲ ἐπὶ τοῖς κακοῖς».—*τὴν φιλίαν*] ἐνν. αὐτῶν, δηλ. τῶν συνόντων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 ειν. Ἐπειδὴ δὲ ἐγένετο αὐτῷ, ὥστε χρήμασιν εὐεργετεῖν,
πρῶτον μὲν ἐπὶ τὴν αὑτοῦ τράπεζαν συνέταξεν, ὅπως οἷς
αὐτὸς σιτοῖτο σίτοις, τούτοις ὅμοια ἀεὶ παρατίθοιτο αὐτῷ
ἱκανὰ παμπόλλοις ἀνθρώποις· ὅσα δὲ παρατεθείη, ταῦτα
πάντα, πλὴν οἷς αὐτὸς καὶ οἱ σύνδειπνοι χρήσαιντο, διε-
δίδου, οἷς δὴ βούλοιτο τῶν φίλων μνήμην ἐνδείκνυσθαι ἢ
φιλοφροσύνην. Διέπεμπε δὲ καὶ τούτοις, οὓς ἀγασθείη ἢ
ἐν φυλακαῖς ἢ ἐν θεραπείαις ἢ ἐν αἱστισινοῦν πράξεσιν,
ἐνσημαινόμενος, ὅτι οὐκ ἂν λανθάνοιεν χαρίζεσθαι βου-
λόμενοι.

4 Τῇ μὲν δὴ τῶν σίτων θεραπείᾳ τοιαῦτα ποιῶν πολὺ
ὑπερεβάλλετο πάντας· ὡς δὲ καὶ τοῖς ἄλλοις πᾶσι θερα-
πεύων πολὺ ἐκράτει, τοῦτο νῦν διηγήσομαι· πολὺ γὰρ διε-
νεγκὼν ἀνθρώπων τῷ πλείστας προσόδους λαμβάνειν πολὺ
ἔτι πλέον διήνεγκε τῷ πλεῖστα ἀνθρώπων δωρεῖσθαι. Κα-
τῆρξε μὲν οὖν τούτου Κῦρος, διαμένει δ' ἔτι καὶ νῦν τοῖς
5 βασιλεῦσιν ἡ πολυδωρία. Τίνι μὲν γὰρ φίλοι πλουσιώτε-
ροι ὄντες φανεροὶ ἢ Περσῶν βασιλεῖ; τίς δὲ κοσμῶν κάλ-
λιον φαίνεται στολαῖς τοὺς περὶ αὐτὸν ἢ βασιλεύς; Τίς δ'

---

§ 3. *ἐγένετο αὐτῷ*] ἀόρ. τοῦ *ἔστιν* (=ἔξεστι), ἀπροσώπως ἔγεινε δυνατὸν εἰς αὐτόν· τὸ ἀντίθετον τοῦ ἀνωτέρω «ἕως μὲν ἀδυνατώτερος ἦν».— *συνέταξεν*] διέταξεν, ὅπως παρὰ τὴν αὑτοῦ τράπεζαν ἀεὶ παρατίθοιτο ὅμοια τούτοις, οἷς αὐτὸς σιτοῖτο: δηλ. νὰ φέρωσι πάντοτε εἰς τὸ τραπέζι του φαγητὰ ὅμοια μὲ ἐκεῖνα, τὰ ὁποῖα αὐτὸς ἔτρωγεν.— *ἱκανὰ*] ἀρκετά, τὰ ὁποῖα νὰ ἀρκῶσι διὰ παμπόλλους ἀνθρώπους. *πλὴν οἷς*] πλὴν τούτων, οἷς.—*ἀεὶ*] ἑκάστοτε.—*μνήμην*] ἐνθύμησιν, ὅτι τοὺς ἐνεθυμεῖτο. —*ἀγασθείη*] τοῦ ἄγαμαι· ἤθελεν εὐχαριστηθῇ.

§ 4. *Τῇ θεραπείᾳ*] ὡς πρὸς τὴν περιποίησιν. — *τοῖς ἄλλοις πᾶσι θεραπεύων*] μὲ πάντα ἄλλον τρόπον περιποιούμενος.—*γὰρ*] δηλαδή.— *διενεγκὼν*] ἀόρ. τοῦ διαφέρω=ὑπερέχω.—*πλεῖστα*] σύστοιχον ἀντικμ. τοῦ δωρεῖσθαι.—*κατῆρξε*] πρῶτος ἔκαμεν ἀρχήν· τὸ ρ. κατάρχω. — *τοῖς βασιλεῦσι* τῶν Περσῶν.

§ 5. *ὄντες*] ὅτι εἶναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄλλος καταστρεψάμενος ἀρχὴν ὑπὸ τῶν ἀρχομένων πατὴρ 6
καλούμενος ἀπέθανεν ἢ Κῦρος ; τοῦτο δὲ τοὔνομα δῆλον, ὅτι εὐεργετοῦντός ἐστι μᾶλλον ἢ ἀφαιρουμένου.

Καὶ τὸ μὲν δὴ μεγέθει δώρων ὑπερβάλλειν πλουσιώτα- 7
τον ὄντα οὐ θαυμαστόν· τὸ δὲ τῇ θεραπείᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγίγνεσθαι, τοῦτο ἀξιολογώτερον. Ἐκεῖνος τοίνυν λέγεται κατάδηλος εἶναι μηδενὶ ἂν οὕτως αἰσχυνθεὶς ἡττώμενος, ὡς φίλων θεραπείᾳ.

Πρὸς δὲ τούτοις κατανοήσας τοὺς πολλοὺς τῶν ἀνθρώ- 8
πων ὅτι, ἢν μὲν ὑγιαίνοντες διατελῶσι, παρασκευάζονται, ὅπως ἕξουσι τἀπιτήδεια, καὶ κατατίθενται τὰ χρήσιμα εἰς τὴν τῶν ὑγιαινόντων δίαιταν· ὅπως δέ, ἢν ἀσθενήσωσι, τὰ σύμφορα παρέσται, τούτου οὐ πάνυ ἐπιμελομένους ἑώρα· ἔδοξεν οὖν καὶ ταῦτα ἐκπονῆσαι αὐτῷ καὶ τούς τε ἰατροὺς τοὺς ἀρίστους συνεκομίσατο πρὸς αὐτὸν τῷ τελεῖν ἐθέλειν καὶ ὁπόσα ἢ ὄργανα χρήσιμα ἔφη τις ἂν αὐτῶν γενέσθαι ἢ φάρμακα ἢ σῖτα ἢ ποτά, οὐδὲν τούτων, ὅ,τι οὐχὶ παρασκευάσας ἐθησαύριζε παρ' αὐτῷ. Καὶ ὁπότε δέ τις 9
ἀσθενήσειε τῶν θεραπεύεσθαι ἐπικαιρίων, ἐπεσκόπει καὶ

---

§ 6. *καταστρεψάμενος*] ἐνῷ ὑπέταξεν.—*ἀρχὴν*] τῶν Μήδων.—*τοὔνομα*] πατήρ.

§ 7. *μεγέθει*] κατὰ τὸ μέγεθος. — *πλουσιώτατον ὄντα*] ἐνῷ ἦτο πλουσιώτατος.— *τῶν φίλων*] γεν. ἀντικειμενικὴ ἐκ τοῦ θεραπείᾳ καὶ ἐπιμελείᾳ.—*βασιλεύοντα*] ἐνῷ ἦτο βασιλεύς.— *ἀξιολογώτερον*] ἐνν. ἢ τὸ μεγέθει δώρων ὑπερβάλλειν.—*τοίνυν*] τῷ ὄντι.—*ἂν αἰσχυνθείς*]=ὅτι ᾐσχύνθη ἄν.—*ἡττώμενος*]=εἰ ἡττᾶτο.

§ 8. *τοὺς πολλοὺς*] τοὺς περισσοτέρους.—*ὑγιαίνοντες*] συντ. § 45, β', —*ἢν διατελῶσι*] ὁσάκις ὑγιαίνωσιν· συντ. § 57, 3.—*ὅπως ἕξουσι*] πλαγία ἐρώτησις· συντ. § 58, 6.—*κατατίθενται*] ἀποταμιεύουσιν.—*τούτου*] ἐπαναλαμβάνει μετ' ἐμφάσεως τὸ ὅπως τὰ σύμφορα παρέσται.—*καὶ τούς τε ἰατροὺς κλπ.*] ἐπεξήγησις τοῦ καὶ ταῦτα.—*ἂν γενέσθαι*]=ὅτι γένοιτο ἄν, δυνατὸν νὰ γείνωσιν.—*αὐτῶν*] τῶν ἰατρῶν.—*οὐδὲν ὅ,τι οὐχὶ*]=πάντα.

§ 9. *ἐπεσκόπει*] ἐπεσκέπτετο.—*πάντα ὅτου*] ἀντὶ πάντα ὅσων· διότι τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρεῖχε πάντα, ὅτου ἔδει. Καὶ τοῖς ἰατροῖς δὲ χάριν ᾔδει, ὁπότε τις ἰάσαιτό τινα τῶν παρ' ἐκείνου λαμβάνων.

10 Ταῦτα μὲν δὴ καὶ τοιαῦτα πολλὰ ἐμηχανᾶτο πρὸς τὸ πρωτεύειν, παρ' οἷς ἐβούλετο ἑαυτὸν φιλεῖσθαι. Ὧν δὲ προηγόρευέ τε ἀγῶνας καὶ ἆθλα προυτίθει φιλονικίας ἐμποιεῖν βουλόμενος περὶ τῶν καλῶν κἀγαθῶν ἔργων, ταῦτα τῷ μὲν Κύρῳ ἔπαινον παρεῖχεν, ὅτι ἐπεμέλετο, ὅπως ἀσκοῖτο ἡ ἀρετή· τοῖς μέντοι ἀρίστοις οἱ ἀγῶνες οὗτοι πρὸς ἀλλήλους καὶ ἔριδας καὶ φιλονικίας ἐνέβαλλον.

1 Κεφ. Γ'. Νῦν δὲ ἤδη διηγησόμεθα, ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων. Πρῶτον μὲν οὖν πρὸ τῆς ἐξελάσεως εἰσκαλέσας πρὸς αὐτὸν τοὺς τὰς ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων συμμάχων διέδωκεν αὐτοῖς τὰς Μηδικὰς στολάς· καὶ τότε πρῶτον Πέρσαι Μηδικὴν στολὴν ἐνέδυσαν· διαδιδούς τε ἅμα τάδε ἔλεγεν αὐτοῖς, ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ τοῖς θεοῖς ἐξῃρημένα

2 καὶ θῦσαι μετ' ἐκείνων. Ὁ δὲ Κῦρος νομίζων Φεραύλαν τὸν ἐκ τῶν δημοτῶν καὶ συνετὸν εἶναι καὶ φιλόκαλον καὶ εὔτακτον καὶ τοῦ χαρίζεσθαι αὐτῷ οὐκ ἀμελῆ, ὅς ποτε

---

ὅτου εἶναι περιληπτικόν. — *ὁπότε ἰάσαιτο*] ὁσάκις ἰάτρευεν· συντ. § 53, 2. — *τῶν παρ' ἐκείνου λαμβάνων*] = λαμβάνων παρ' ἐκείνου (Κύρου) ἐκ τῶν παρ' ἐκείνῳ ὄντων, δηλ. ἐξ ἐκείνων, τὰ ὁποῖα ὁ Κῦρος ἐθησαύριζε παρ' ἑαυτῷ.

§ 10. *πρὸς τὸ πρωτεύειν*] ἐνν. φιλίᾳ ἐκ τοῦ ἑπομένου φιλεῖσθαι — *παρ' οἷς*] = παρὰ τούτοις, ὑφ' ὧν. — *φιλονικίας*] φιλοτιμίας, ἁμίλλας. — *ὅπως ἀσκοῖτο ἡ ἀρετή*] πλαγία ἐρώτησις κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου, τοῦ ἐπεμέλετο.

Κεφ. Γ'. § 1. *ὡς*] πῶς. — *ἐκ τῶν βασιλείων*] τῶν ἀνακτόρων τῆς Βαβυλῶνος. — *ἐνέδυσαν*] ἀόρ. β' = ἐνεδύθησαν. — *ἐξῃρημένα*] ἐξαίρετα, δεδομένα, ἀφιερωμένα.

§ 2. *τὸν ἐκ τῶν δημοτῶν*] ὅστις ἦτο ἐκ τῶν δημοτῶν, δηλ. ἄνθρωπος τοῦ λαοῦ καὶ οὐχὶ τῶν ὁμοτίμων ἢ ἀρίστων (εὐγενῶν). — *εὔτακτον*] εὐπειθῆ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ περὶ τοῦ τιμᾶσθαι ἕκαστον κατὰ τὴν ἀξίαν συνεῖπε,
τοῦτον δὴ καλέσας συνεβουλεύετο αὐτῷ, πῶς ἂν τοῖς μὲν
εὔνοις κάλλιστα ἰδεῖν ποιοῖτο τὴν ἐξέλασιν, τοῖς δὲ δυσ-
μενέσι φοβερώτατα. Ἐπεὶ δὲ σκοποῦντοιν αὐτοῖν ταῦτὰ 3
συνέδοξεν, ἐκέλευσε τὸν Φεραύλαν ἐπιμεληθῆναι, ὅπως
ἂν οὕτω γένηται αὔριον ἡ ἐξέλασις, ὥσπερ ἔδοξε καλῶς
ἔχειν. Ὁ μὲν δὴ Φεραύλας εὐθὺς ἐπεμέλετο τῶν εἰς τὴν 4
ἐξέλασιν, ὅπως ὡς κάλλιστα ἕκαστα ἔξοι.

Ἡνίκα δ' ἡ ὑστεραία ἧκε, καθαρὰ μὲν ἦν πάντα πρὸ 5
ἡμέρας, στοῖχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ,
ὥσπερ καὶ νῦν ἔτι ἵστανται, ᾗ ἂν βασιλεὺς μέλλῃ ἐλαύ-
νειν· ὧν ἐντὸς οὐδενὶ ἔστιν εἰσιέναι τῶν μὴ τετιμημένων·
μαστιγοφόροι δὲ καθέστασαν, οἳ ἔπαιον, εἴ τις ἐνοχλοίη.
Ἔστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλί-
ους ἔμπροσθεν τῶν πυλῶν εἰς τέτταρας, δισχίλιοι δ' ἑκα-
τέρωθεν τῶν πυλῶν. Καὶ οἱ ἱππεῖς δὲ πάντες παρῆσαν 6
καταβεβηκότες ἀπὸ τῶν ἵππων καὶ διειρκότες τὰς χεῖρας

---

—*οὐκ ἀμελῆ*]=ἐπιμελόμενον.—*συνεῖπε*] συνηγόρησε· τὸ ῥ. συναγορεύω.—*συνεβουλεύετο*] συνεσκέπτετο.—*πῶς ἂν . . . φοβερώτατα*] πῶς ἠδύνατο νὰ κάμῃ τὴν ἔξοδον, ὥστε νὰ φανῇ εἰς μὲν τοὺς φίλους ὡραιοτάτη, εἰς δὲ τοὺς ἐχθροὺς φοβερωτάτη.

§ 3. *σκοπούντοιν αὐτοῖν*] δοτ. προσωπικὴ τοῦ συνέδοξεν.—*ταῦτὰ συνέδοξεν*] τὰ ἴδια ἐνόμισαν καλὰ καὶ ἀπεφάσισαν.—*ὅπως ἂν γένηται*] πλαγία ἐρώτησις ἐκ τοῦ ἐπιμεληθῆναι.

§ 4. *ἐπεμέλετο τῶν εἰς τὴν ἐξέλασιν*] σχῆμα προλήψεως ἀντὶ ἐπεμέλετο ὅπως τὰ εἰς τὴν ἐξέλασιν ὡς κάλλιστα ἔξοι.—*ὅπως . . . ἔξοι*] πλαγία ἐρώτησις κατ' εὐκτ. διότι ἐξαρτᾶται ἐξ ἱστορικοῦ χρόνου, τοῦ ἐπεμέλετο.

§ 5. *καθαρὰ*] ἐν τάξει.—*στοῖχοι*] στρατιωτῶν.—*ᾗ ἂν μέλλῃ*] ὅπου ἂν μέλλῃ, ὁσάκις μέλλῃ.—*ἔστιν*]=ἔξεστιν.—*τῶν μὴ τετιμημένων*] τῶν μὴ ἐχόντων τιμητικόν τι ἀξίωμα.—*καθέστασαν*]=καθειστήκεσαν· γραμμ. § 80, 1, α'.—*εἰς τετρακισχιλίους*] ἕως, μέχρι τετρακισχιλίων.—*εἰς τέτταρας*] τὸ βάθος, δηλ. εἰς τέσσαρας σειράς.

§ 6. *διειρκότες*] παρακμ. τοῦ διείρω· ἔχοντες περασμένας τὰς χεῖρας

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διὰ τῶν κανδύων, ὥσπερ καὶ νῦν ἔτι διείρουσιν, ὅταν ὁρᾷ βασιλεύς. Ἕστασαν δὲ Πέρσαι μὲν ἐκ δεξιᾶς, οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ καὶ τὰ ἅρματα ὡσαύτως
7 τὰ ἡμίσεα ἑκατέρωθεν. Ἐπεὶ δ' ἀνεπετάννυντο αἱ τοῦ βασιλείου πύλαι, πρῶτον μὲν ἤγοντο τῷ Διὶ ταῦροι πάγκαλοι εἰς τέτταρας καὶ οἷς τῶν ἄλλων θεῶν οἱ μάγοι ἐξη-
8 γοῦντο. Μετὰ δὲ τοὺς βοῦς ἵπποι ἤγοντο θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο ἅρμα λευκὸν χρυσόζυγον ἐστεμμένον Διὸς ἱερόν· μετὰ δὲ τοῦτο Ἡλίου ἅρμα λευκὸν καὶ τοῦτο ἐστεμμένον ὥσπερ τὸ πρόσθεν· μετὰ δὲ τοῦτο ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοινικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ ἐπ' ἐσχάρας μεγάλης ἄνδρες
9 εἵποντο φέροντες. Ἐπὶ δὲ τούτοις ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προυφαίνετο ὁ Κῦρος ἐφ' ἅρματος ὀρθὴν ἔχων τὴν τιάραν καὶ χιτῶνα πορφυροῦν μεσόλευκον, ἄλλῳ δ' οὐκ ἔξεστι μεσόλευκον ἔχειν, καὶ περὶ τοῖς σκέλεσιν ἀναξυρίδας ὑσγινοβαφεῖς καὶ κάνδυν ὁλοπόρφυρον. Εἶχε δὲ καὶ διά-

---

εἰς τὰς χειρίδας (μανίκια) τῶν κανδύων.—*κάνδυς*] φόρεμα βεβαμμένον μὲ πορφύραν.—*ἐκ δεξιᾶς*] ἐνν. χειρός.—*σύμμαχοι*] ἐπεξήγησις τοῦ ἄλλοι.—*τὰ ἅρματα τὰ ἡμίσεα*] ἀντὶ τῶν ἁρμάτων τὰ ἡμίσεα.

§ 7. *εἰς τέτταρας*] ἀνὰ τέσσαρας.—*καὶ οἷς τῶν ἄλλων θεῶν*]=καὶ τούτοις τῶν ἄλλων θεῶν, οὕς.

§ 8. *θῦμα*] κατηγορούμενον.—*ἅρμα λευκόν*]=ἅρμα ἑλκόμενον ὑπὸ ἵππων λευκῶν· σχῆμα ὑπαλλαγῆς.—*φοινικίδες*] ὑφάσματα ἐρυθρά.—*καταπεπταμένοι*] παρακμ. τοῦ καταπετάννυμαι· κεκαλυμμένοι.—*οἱ ἵπποι*] κατ' ἐπιμερισμὸν προσδιορισμὸς εἰς τὸ ἅρμα· συντ. § 18, 2, γ'.—*καὶ πῦρ*] διότι οἱ Πέρσαι τὸ πῦρ θεὸν ἐνόμιζον.

§ 9. *ἐπὶ δὲ τούτοις*] κατόπιν δὲ τούτων.—*ὀρθὴν ἔχων τὴν τιάραν*] τὸ ὁποῖον μόνον εἰς τὸν βασιλέα ἐπετρέπετο, οἱ δὲ στρατηγοὶ τῶν Περσῶν ὑποκεκλιμένην.—*τιάρα*] πῖλος, ἐλέγετο καὶ *κυρβασία* ἢ κίδαρις.—*μεσόλευκον*] ἐν τῷ μέσῳ λευκόν.—*ἀναξυρίδας*] βρακία.—*ὑσγινοβαφεῖς*] βεβαμμένας μὲ ἀνοικτὸν κόκκινον χρῶμα, ἄλικαις.—*διάδημα*] ταινίαν δεδεμένην πέριξ τῆς τιάρας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*δημα περὶ τῇ τιάρᾳ. Ἰδόντες δὲ πάντες προσεκύνησαν* 10
*εἴτε καὶ ἄρξαι τινὲς κεκελευσμένοι εἴτε καὶ ἐκπλαγέντες τῇ*
*παρασκευῇ καὶ τῷ δόξαι μέγαν τε καὶ καλὸν φανῆναι τὸν*
*Κῦρον. Πρόσθεν δὲ Περσῶν οὐδεὶς Κῦρον προσεκύνει.*
*Ἐπεὶ δὲ προῄει τὸ τοῦ Κύρου ἅρμα, προηγοῦντο μὲν οἱ* 11
*τετρακισχίλιοι δορυφόροι, παρείποντο δὲ οἱ δισχίλιοι ἑκα-*
*τέρωθεν τοῦ ἅρματος· ἐφείποντο δὲ οἱ περὶ αὐτὸν σκη-*
*πτοῦχοι ἐφ' ἵππων κεκοσμημένοι σὺν τοῖς παλτοῖς ἀμφὶ*
*τοὺς τριακοσίους. Οἱ δ' αὖ τῷ Κύρῳ τρεφόμενοι ἵπποι* 12
*παρήγοντο χρυσοχάλινοι ῥαβδωτοῖς ἱματίοις καταπεπτα-*
*μένοι ἀμφὶ τοὺς διακοσίους. ἐπὶ δὲ τούτοις δισχίλιοι ξυ-*
*στοφόροι· ἐπὶ δὲ τούτοις ἱππεῖς οἱ πρῶτοι γενόμενοι μύ-*
*ριοι εἰς ἑκατὸν πανταχῇ τεταγμένοι· ἡγεῖτο δ' αὐτῶν Χρυ-*
*σάντας. Ἐπὶ δὲ τούτοις μύριοι ἄλλοι Περσῶν ἱππεῖς* 13
*τεταγμένοι ὡσαύτως, ἡγεῖτο δ' αὐτῶν Ὑστάσπας· ἐπὶ δὲ*
*τούτοις ἄλλοι μύριοι ὡσαύτως, ἡγεῖτο δ' αὐτῶν Δατάμας·*
*ἐπὶ δὲ τούτοις [τοσοῦτοι] ἄλλοι, ἡγεῖτο δ' αὐτῶν Γαδά-*
*τας· ἐπὶ δὲ τούτοις Μῆδοι ἱππεῖς, ἐπὶ δὲ τούτοις Ἀρμέ-* 14
*νιοι, μετὰ δὲ τούτους Ὑρκάνιοι, μετὰ δὲ τούτους Καδού-*
*σιοι, ἐπὶ δὲ τούτοις Σάκαι· μετὰ δὲ τοὺς ἱππέας ἅρματα*

---

§ 10. *ἄρξαι*] ἐνν. τοῦ προσκυνεῖν· νὰ κάμωσιν ἀρχήν.

§ 11. *παρείποντο*] ἠκολούθουν πλησίον αὐτῶν.—*ἐφείποντο*] ἠκολούθουν ὄπισθεν.—*σκηπτοῦχοι*] σκῆπτρον ἔχοντες σωματοφύλακες.—*σὺν τοῖς παλτοῖς*] μὲ τὰ δύο δόρατά των.

§ 12. *τῷ Κύρῳ*] χάριν τοῦ Κύρου, διὰ τὸν Κ.—*ξυστοφόροι*] ξυστὰ φέροντες, δηλ. μικρὰ ἀκόντια.—*οἱ πρῶτοι γενόμενοι*] τοὺς ὁποίους κατὰ πρῶτον ὁ Κ. ἔκαμεν.—*πανταχῇ*] καὶ κατὰ τὸ βάθος καὶ κατὰ τὸ μέτωπον.

§ 13. *ὡσαύτως*] ἐνν. τεταγμένοι.—*τοσοῦτοι ἄλλοι*]—ἄλλοι τόσοι, δηλ. μύριοι, τεταγμένοι.

§ 14. *ἐπὶ δὲ τούτοις*] κατόπιν δὲ τούτων ἠκολούθουν.—*ἐπὶ τεττάρων*] ἀνὰ τέσσαρα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπὶ τεττάρων τεταγμένα, ἡγεῖτο δ' αὐτῶν Ἀρταβάτας Πέρσης.

15 Πορευομένου δὲ αὐτοῦ πάμπολλοι ἄνθρωποι παρείποντο ἔξω τῶν σημείων δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως. Πέμψας οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινάς, οἳ παρείποντο αὐτῷ τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ τούτου ἕνεκα τοῦ διαγγέλλειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ τίς τι αὐτοῦ δέοιτο, διδάσκειν τῶν ἱππάρχων τινά, ὅ,τι τις βούλοιτο, ἐκείνους δ' ἔφη πρὸς αὐτὸν ἐρεῖν.

16 Ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διὶ καὶ ὡλοκαύτησαν τοὺς ταύρους· ἔπειτα τῷ Ἡλίῳ καὶ ὡλοκαύτησαν τοὺς ἵππους· ἔπειτα Γῇ σφάξαντες, ὡς ἐξηγήσαντο οἱ μάγοι, ἐποίησαν· ἔπειτα δὲ ἥρωσι τοῖς Συρίαν ἔχουσιν.

17 Οὕτω δὴ τότε ὑπὸ Κύρου κατασταθεῖσα ἡ βασιλέως ἔλασις, οὕτως ἔτι καὶ νῦν διαμένει, πλὴν τὰ ἱερὰ ἄπεστιν, ὅταν μὴ θύῃ. Ὡς δὲ ταῦτα τέλος εἶχεν, ἀφικνοῦνται πάλιν εἰς τὴν πόλιν καὶ ἐσκήνησαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας, οἷς δὲ μή, ἐν τάξει.

---

§ 15. *ἔξω τῶν σημείων*] τῶν στοίχων.—*ἄλλος*] κατ' ἐπιμερισμὸν προσδιορισμὸς τοῦ πάμπολλοι ἄνθρωποι· συντ. § 18, 2, γ'. *τοῦ διαγγέλλειν*] ἐπεξήγησις τοῦ *αὐτοῦ τούτου ἕνεκα*.—*διδάσκειν*] νά το λέγῃ.—*ἐκείνους*] τοὺς ἱππάρχους.

§ 16. *ὡλοκαύτησαν*] ἔκαυσαν ὁλοκλήρους τοὺς ταύρους, ἐνῷ συνήθως οἱ Ἕλληνες ἔκαιον ἐν ταῖς θυσίαις μόνους τοὺς μηροὺς κεκαλυμμένους διὰ τῆς κνίσσης (μπόλιας).—*τῷ Ἡλίῳ*] ἐνν. ἔθυσαν.—*ὡς ἐξηγήσαντο*] ὅπως ὡδήγησαν.—*Συρίαν*] τὴν Ἀσσυρίαν.—*ἔχουσι*]=κατέχουσι, τοῖς προστατεύουσιν.

§ 17. *πλὴν τὰ ἱερὰ ἄπεστιν*] ἐκτὸς ὅτι αἱ ἱεραὶ τελεταὶ δὲν γίνονται.—*ὅταν μὴ θύῃ*]=ἐὰν μὴ θύῃ, ὁσάκις δὲν κάμνει θυσίαν ὁ βασιλεύς.—*τέλος εἶχεν*] ἐτελείωσαν.—*κατ' οἰκίας*] εἰς τὸ ἐσκήνησαν, χωριστὰ εἰς οἰκίας.—*οἷς δὲ μή*] ἐνν. ἐδόθησαν οἰκίαι.—*ἐν τάξει*] εἰς τὰς τάξεις των, δηλ. ὅπου ἕκαστος ἦτο τεταγμένος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Κεφ. Ε'*. Ἡνίκα δὲ ἤδη αὐτῷ ἐδόκει καλῶς ἔχειν τὰ 1
ἐν Βαβυλῶνι ὡς καὶ ἀποδημεῖν, συνεσκευάζετο τὴν εἰς Πέρσας πορείαν καὶ τοῖς ἄλλοις παρήγγειλεν· ἐπεὶ δ' ἐνόμισεν ἱκανὰ ἔχειν, ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυ.

Ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικήν, 2
τρέπεται ὁ Κῦρος πρὸς Κυαξάρην. Ἐπεὶ δὲ ἠσπάσαντο ἀλλήλους, πρῶτον μὲν δὴ ὁ Κῦρος εἶπε τῷ Κυαξάρῃ, ὅτι οἶκος αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι καὶ ἀρχεῖα, ὅπως ἔχῃ, καὶ ὅταν ἐκεῖσε ἔλθῃ, εἰς οἰκεῖα κατάγεσθαι· ἔπειτα δὲ καὶ ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολλὰ καὶ καλά. Ὁ δὲ 3
Κυαξάρης ταῦτα μὲν ἐδέχετο, προσέπεμψε δὲ αὐτῷ τὴν θυγατέρα στέφανόν τε χρυσοῦν καὶ ψέλια φέρουσαν καὶ στρεπτὸν καὶ στολὴν Μηδικὴν ὡς δυνατὸν καλλίστην. Καὶ 4
ἡ μὲν δὴ παῖς ἐστεφάνου τὸν Κῦρον, ὁ δὲ Κυαξάρης εἶπε, Δίδωμι δέ σοι, ἔφη, ὦ Κῦρε, καὶ αὐτὴν ταύτην γυναῖκα ἐμὴν οὖσαν θυγατέρα. Ἐπιδίδωμι δὲ αὐτῇ ἐγὼ καὶ φερνὴν Μηδίαν τὴν πᾶσαν· οὐδὲ γάρ ἔστι μοι ἄῤῥην παῖς

---

Κεφ. Ε'. § 1. *ἡνίκα δὲ ἤδη*] ὅτε δὲ πλέον.—*τὰ ἐν Βαβυλῶνι*] ἐνν. πράγματα.—*ὡς*]=ὥστε.—*καὶ ἀποδημεῖν*] ἠδύνατο καὶ νὰ ἀναχωρήσῃ.—*συνεσκευάζετο τὴν πορείαν*] ἡτοιμάζετο διὰ τὴν πορείαν. —*παρήγγειλεν*] ἐνν. συσκευάζεσθαι ἐκ τοῦ συνεσκευάζετο· σχῆμα ἐξ ἀναλόγου. – *οὕτω δὴ*] τότε πλέον.

§ 2. *γίγνονται κατὰ τὴν Μηδικήν*] ἔφθασαν εἰς τὴν Μηδικὴν γῆν. —*τρέπεται*] πορεύεται.—*οἶκος*] ἀνάκτορον.—*αὐτῷ*] δι' αὐτόν· δοτ. χαριστική.– *ἐξῃρημένος*] ξεχωρισμένος, ἐξαιρέτως ὡρισμένος.—*ἀρχεῖα*] οἰκήματα χρήσιμα εἰς τὴν βασιλικὴν ὑπηρεσίαν.– *ἐκεῖσε*] εἰς Βαβυλῶνα.—*εἰς οἰκεῖα*] εἰς ἰδικά του, ἰδιόκτητά του.—*κατάγεσθαι*] νὰ πηγαίνῃ σὰν στὸ σπίτι του.

§ 3. *τὴν θυγατέρα*] τὴν ἑαυτοῦ.— *ὡς δυνατόν*] ἐπιτείνει τὴν σημασίαν τοῦ ὑπερθετικοῦ καλλίστην.

§ 4. *ἐπιδίδωμι*] προσέτι δίδω.—*φερνήν*] προῖκα, κατηγρμ. τοῦ Μηδίαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5 γνήσιος. Ὁ μὲν οὕτως εἶπεν· ὁ δὲ Κῦρος ἀπεκρίνατο, Ἀλλ', ὦ Κυαξάρη, τό τε γένος ἐπαινῶ καὶ τὴν παῖδα καὶ τὰ δῶρα· βούλομαι δέ, ἔφη, σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς ταῦτά σοι συναινέσαι. Εἶπε μὲν οὖν οὕτως ὁ Κῦρος, ὅμως δὲ τῇ παιδὶ πάντα ἐδωρήσατο, ὁπόσα ᾤετο καὶ τῷ Κυαξάρῃ χαριεῖσθαι. Ταῦτα δὲ ποιήσας εἰς Πέρσας ἐπορεύετο.

6 Ἐπεὶ δ' ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμενος, τὸ μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο ἱερεῖα μὲν ἄγων, ὡς πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑστιᾶσθαι· δῶρα δ' ἦγεν, οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἄλλοις φίλοις, οἷα δ' ἔπρεπεν ἀρχαῖς καὶ γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν· ἔδωκε δὲ καὶ πᾶσι Πέρσαις καὶ Περσίσιν, ὅσαπερ καὶ νῦν ἔτι δίδωσιν, ὅτανπερ ἀφίκηται βασιλεὺς εἰς Πέρσας. Τούτων δὲ πραχθέντων ἀπῄει ὁ Κῦρος.

7 Ὡς δ' ἀπιὼν ἐγένετο ἐν Μήδοις, συνδόξαν τῷ πατρὶ καὶ τῇ μητρὶ γαμεῖ τὴν Κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν λόγος ὡς παγκάλης γενομένης· γήμας δ' εὐθὺς ἔχων ἀνεζεύγνυ.

---

§ 5. *ταῦτά σοι συναινέσαι*]=συναινέσαι ταῦτά σοι ὑποσχέσθαι.—*καὶ τῷ Κυαξάρῃ χαριεῖσθαι*]=οὐ μόνον αὐτῇ, ἀλλὰ καὶ τῷ Κυαξ. χαριεῖσθαι δωρούμενος· δηλ. ὅτι καὶ τὸν Κυαξ. θὰ εὐχαριστήσῃ.—*εἰς Πέρσας*]=εἰς Περσίαν.

§ 6. *ἐπὶ τοῖς ὁρίοις ἐγένετο*] ἔφθασεν εἰς τὰ σύνορα.—*αὐτοῦ*] τοπικὸν ἐπίρ.=ἐπὶ τοῖς ὁρίοις.—*εἰς τὴν πόλιν*] τὴν πρωτεύουσαν, δηλ. τὴν Περσέπολιν.—*ἱκανὰ θύειν*] ἀρκετά, ὥστε νὰ θύωσιν.—*ἔπρεπε*] ἐνν. ἄγειν· ἥρμοζεν.—*δίδωσιν*] ὁ βασιλεύς.—*ὅτανπερ ἀφίκηται*] ὁσάκις ἔρχεται· ἰδὲ συντ. § 53. 2.—*ἀπῄει*] ἀπέρχομαι· γραμμ· § 86.

§ 7. *συνδόξαν*] αἰτ. ἀπόλυτος· τὸ ῥ. συνδοκεῖ ἀπρόσωπον συντ· § 46, 6, μὲ τὴν συγκατάθεσιν τοῦ πατρός του καὶ τῆς μητρός του.—*ἧς λόγος*] ἐνν· ἐστί· περὶ τῆς ὁποίας γίνεται λόγος, ὅτι ἦτο πανώρηα (ὡραιοτάτη).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*Κεφ. ς'. Ἐπεὶ δ' ἐν Βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σα-
τράπας ἤδη πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη.*
*Ἐπεὶ δὲ περιῆλθεν ὁ ἐνιαυτός, συνήγειρε στρατιὰν* 2
*εἰς Βαβυλῶνα καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν
ἱππέων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρεπανηφόρα,
πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. Ἐπεὶ δὲ ταῦτα συνε-* 3
*σκεύαστο αὐτῷ, ὥρμα δὴ ταύτην τὴν στρατείαν, ἐν ᾗ λέ-
γεται κατατρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συρίαν ἐκβάντι
οἰκεῖ μέχρι Ἐρυθρᾶς θαλάττης. Μετὰ δὲ ταῦτα ἡ εἰς Αἴ-
γυπτον στρατεία λέγεται γενέσθαι καὶ καταστρέψασθαι
Αἴγυπτον. Καὶ ἐκ τούτου τὴν ἀρχὴν ὥριζεν αὐτῷ πρὸς* 4
*ἕω μὲν ἡ Ἐρυθρὰ θάλαττα, πρὸς ἄρκτον δὲ ὁ Εὔξεινος
πόντος, πρὸς ἑσπέραν δὲ Κύπρος καὶ Αἴγυπτος, πρὸς με-
σημβρίαν δὲ Αἰθιοπία.*
*Κεφ. Ζ'. Οὕτω δὲ τοῦ αἰῶνος προκεχωρηκότος μάλα* 1
*δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας τὸ ἕβδο-
μον ἐπὶ τῆς αὑτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ
πάλαι δή, ὥσπερ εἰκός, ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦ-*

---

Κεφ. ς'. § 1. *σατράπης*] λέξις περσική· πολιτικὸς διοικητὴς ἐπαρχίας ἔχων παρ' ἑαυτῷ καὶ διοικητὴν τοῦ στρατοῦ. Πολλάκις ὅμως ὁ σατράπης ἦτο καὶ στρατιωτικὸς διοικητής.—*τὰ κατεστραμμένα*] τὰ ὑποτεταγμένα· τὸ ῥ. καταστρέφομαι.

§ 2. *περιῆλθεν*] παρῆλθεν.—*συνήγειρε*] συνήθροισε· τὸ ῥ. συναγείρω· γραμμ. § 70.—*δρεπανηφόρα*] ἰδὲ γραμμ. § 116, 4.

§ 3. *ὥρμα*]=ὁρμήσας ἐστρατεύετο.—*δὴ*]=ἤδη.—*ταύτην τὴν στρατείαν*] σύστοιχον ἀντικμ. τοῦ ὥρμα.—*καταστρέψασθαι*] ὅτι ὑπέταξεν.—*Συρίαν ἐκβάντι*] ἐνν. τινί· ὡς πρός τινα ἐκβάντα τὴν Ἀσσυρίαν, δηλ. ἀφοῦ ἐξέλθῃ τις ἐκ τῆς Ἀσσυρίας.—*Ἐρυθρὰ θάλαττα*] ὁ Ἰνδικὸς ὠκεανὸς μετὰ τοῦ Περσικοῦ καὶ τοῦ Ἀραβικοῦ κόλπου.

§ 4. *πρὸς ἕω*] πρὸς ἀνατολάς.—*πρὸς ἑσπέραν*] πρὸς δυσμάς.

Κεφ. Ζ,. § 1. *τοῦ αἰῶνος*] τῆς ἡλικίας τοῦ Κύρου.—*δὴ*]=ἤδη.—*μάλα πρεσβύτης*] πολὺ γέρων.—*τὸ ἕβδομον*] ἐπίρρημα· ἑβδόμην φοράν.—*ἀρχῆς*] βασιλείας.—*πάλαι δὴ*] πρὸ πολλοῦ ἤδη.—*τὰ νομιζόμενα ἱερά*] σύστοιχον



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρος ἔθυσε τὰ νομιζόμενα ἱερὰ καὶ τοῦ χοροῦ ἡγήσατο
Πέρσαις κατὰ τὰ πάτρια καὶ τὰ δῶρα πᾶσι διέδωκεν,
2 ὥσπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ ὄναρ εἶδε τοι-
όνδε. Ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις ἢ κατὰ ἄν
θρωπον εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ εἰς θεοὺς
ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη καὶ σχεδὸν ἐδόκει
3 εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη. Εὐθὺς οὖν λαβὼν
ἱερεῖα ἔθυε Διί τε πατρῴῳ καὶ Ἡλίῳ καὶ τοῖς ἄλλοις θε-
οῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι θύουσιν, ὧδε ἐπευχόμε
νος, Ζεῦ πατρῷε καὶ Ἥλιε καὶ πάντες θεοί, δέχεσθε τάδε
καὶ τελεστήρια πολλῶν καὶ καλῶν πράξεων καὶ χαριστή-
ρια, ὅτι ἐσημαίνετέ μοι καὶ ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις ση-
μείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν φήμαις, ἅ τ' ἐχρῆν ποιεῖν
καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ δ' ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνω-
σκον τὴν ὑμετέραν ἐπιμέλειαν καὶ οὐδεπώποτε ἐπὶ ταῖς
εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς

---

ἀντκμ. τὰς ὑπὸ τῶν νόμων ὁριζομένας πρὸς τοὺς θεοὺς θυσίας.—*καὶ τοῦ χοροῦ ἡγήσατο*] ἐγένετο ἡγεμών, κορυφαῖος τοῦ χοροῦ· σήμερον λέγομεν ἔσυρε τὸν χορόν.—*τὰ δῶρα*] ἰδὲ κεφ. Ε', § 6.—*εἰώθει*] ἐνν. διαδιδόναι.

§ 2. *ὄναρ*] ὄνειρον· ἰδὲ γραμμ. § 31, 5.—*κρείττων ἢ κατ' ἄνθρωπον*] ἔχων ὑπεράνθρωπον ἀνάστημα.—*συσκευάζου*] ἑτοιμάζου.—*ἄπει*] μέλλ. τοῦ ἀπέρχομαι.—*σχεδὸν*] σχῆμα λιτότητος ἀντὶ σαφῶς· ἰδὲ § 6.—*παρείη*] ἦτο παροῦσα, εἶχεν ἔλθῃ.

§ 3. *Διὶ πατρῴῳ*] ἐπίστευον οἱ παλαιοὶ ὅτι οἱ βασιλεῖς κατήγοντο ἀπὸ τοῦ Διός, διὸ καὶ *διογενέες* ἢ *διοτρεφέες* βασιλῆες καλοῦνται ὑπὸ τοῦ Ὁμήρου.—*ἐπὶ τῶν ἄκρων*] ἐπάνω εἰς τὰς κορυφὰς τῶν ὀρέων.—*δέχεσθαι* ἰδὲ συντ. § 39, δ', 4.—*τάδε*] τὰς θυσίας ταύτας.—*τελεστήρια καὶ χαριστήρια*] κατηγορμ. τοῦ τάδε· εὐχαριστήρια διότι ἐξετέλεσα πολλὰς καλὰς πράξεις.—*ὅτι*] διότι.—*ἐν ἱεροῖς*] ἐνν. θύμασιν.—*οὐρανίοις σημείοις*] δηλ. ἀστραπαῖς καὶ βρονταῖς.—*ἐν οἰωνοῖς*] διὰ τῆς φωνῆς ἢ τῆς πτήσεως τῶν ὀρνέων.—*ἐν φήμαις*] διὰ λόγων μαντικῶν.—*χάρις*] ἐνν. ἔστω· πολὺ σᾶς εὐχαριστῶ.—*οὐδεπώποτε*] οὐδέποτε ἕως τώρα—*ὑπὲρ ἄνθρωπον ἐφρόνησα*]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοῦναι καὶ νῦν παισὶ μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν, ἐμοὶ δὲ οἷόνπερ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν δοῦναι. Ὁ μὲν δὴ τοιαῦτα ποιήσας 4
καὶ οἴκαδε ἐλθὼν ἔδοξεν ἡδέως ἀναπαύσεσθαι καὶ κατεκλίνη. Ἐπεὶ δὲ ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέλευον. Ὁ δ' ἔλεγεν, ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ' αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει καὶ ἔπιεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐ- 5
τῷ ταὐτὰ καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· οἱ δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις· ἐκάλεσε δὲ καὶ τοὺς φίλους καὶ τὰς Περσῶν ἀρχάς· παρόντων δὲ πάντων ἤρχετο τοιοῦδε λόγου.

Παῖδες ἐμοὶ καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν 6
τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν· ἐκ πολλῶν τοῦτο σαφῶς γιγνώσκω· ὑμᾶς δὲ χρή, ὅταν τελευτήσω, ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ἐγὼ γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ κεκαρπῶσθαι, ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις, τέλειός τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι· σὺν τῷ χρόνῳ τε προϊόντι ἀεὶ συναυ-

---

ὑπερηφανεύθην περισσότερον παρ' ὅσον ἁρμόζει εἰς ἄνθρωπον. — *αἰῶνα*] βίον.—*τελευτὴν*] τέλος τῆς ζωῆς, θάνατον.

§ 4. *ἔδοξεν ἡδέως ἀναπαύσεσθαι*] ἐνόμισεν ὅτι εὐχαρίστως θὰ ἀναπαυθῇ.—*οἱ τεταγμένοι*] οἱ διωρισμένοι θεράποντες.—*ἡ ψυχὴ σῖτον οὐ προσίετο*] ἡ ψυχή (ἡ διάθεσίς) του τροφὴν δὲν ἐδέχετο, δηλ. ὄρεξιν δὲν εἶχε νὰ φάγῃ.—*διψῆν*] ἰδὲ γραμμ. § 59, 6', παρατήρ. 2.

§ 5. *τῇ ὑστεραίᾳ...τῇ τρίτῃ*] ἐνν. ἡμέρᾳ.—*ἐν Πέρσαις*] ἐν Περσίᾳ.

§ 6. *ἤδη*] τώρα πλέον —*ὡς περὶ εὐδαίμονος ἐμοῦ*]=περὶ ἐμοῦ ὡς περὶ εὐδαίμονος.—*κεκαρπῶσθαι*] παρακμ. τοῦ καρποῦμαι [ἔχω] καρπωθῇ, ἔχω ἀπολαύσῃ —*ἥβησα*] ἔγεινα ἔφηβος· τὸ ῥ. ἡβάω.—*τὰ ἐν νεανίσκοις... τὰ ἐν ἀνδράσι*] ἐνν. δοκῶ κεκαρπῶσθαι. —*συναυξανομένην*] ὅτι σὺν τῷ χρόνῳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν ἐμὴν δύναμιν,
ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ᾐσθόμην τῆς ἐμῆς
νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ' ἐπιχειρήσας
7 οὔτ' ἐπιθυμήσας οἶδα, ὅτου ἠτύχησα. Καὶ τοὺς μὲν φί-
λους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους, τοὺς δὲ
πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πατρίδα πρόσ-
θεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ νῦν προτετιμημένην κατα-
8 λείπω. Νῦν δ' ἢν τελευτήσω, καταλείπω μὲν ὑμᾶς, ὦ
παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν μοι οἱ θεοὶ γενέσθαι· κα-
9 ταλείπω δὲ πατρίδα καὶ φίλους εὐδαιμονοῦντας· δεῖ δὲ καὶ
τὴν βασιλείαν με ἤδη σαφηνίσαντα καταλιπεῖν, ὡς ἂν μὴ
ἀμφίλογος γενομένη πράγματα ὑμῖν παράσχῃ. Ἐγὼ δ'
οὖν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ παῖδες· τὸ δὲ
προβουλεύειν καὶ τὸ ἡγεῖσθαι, ἐφ' ὅ,τι ἂν καιρὸς δοκῇ εἶ-
ναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ καὶ πλειόνων
10 κατὰ τὸ εἰκὸς ἐμπείρῳ. Καὶ σὺ μέν, ὦ Καμβύση, τὴν
βασιλείαν ἔχε, θεῶν τε διδόντων καὶ ἐμοῦ, ὅσον ἐν ἐμοί·

---

ηὐξάνετο καὶ ἡ ἐμὴ δύναμις.— *τοὐμὸν γῆρας . . ἀσθενέστερον γιγνόμενον*] οὐδέποτε ἕως τώρα ᾐσθάνθην, ὅτι κατὰ τὸ γῆρας γίνομαι ἀσθενέστερος παρὰ κατὰ τὴν νεότητά μου. — *οὔτ' ἐπιχειρήσας . . . ἠτύχησα*] = καὶ οἶδα (γνωρίζω) ὅτι οὔτε ἐπεχείρησα οὔτ' ἐπεθύμησά τινος, ὅτου ἠτύχησα (ἀπέτυχον).

§ 7. *ἐπεῖδον*] ἔζησα νὰ ἴδω. — *πρόσθεν ἰδιωτεύουσαν*] ἐνῷ πρότερον ἰδιώτευεν (ἐν ἰδιώτου μέρει ἦν), δηλ. οὐδὲν ἀξίωμα, οὐδεμίαν τιμὴν εἶχεν.—*προτετιμημένην*] ἔχουσαν προτίμησιν, ἀξίωμα, δηλ. ἄρχουσαν.

§ 8. *τελευτήσω*] ἐνν. τὸν βίον, ἀποθάνω. —*ζῶντας*] ὡς εὐτύχημα ἀναφέρει καὶ τοῦτο.

§ 9. *σαφηνίσαντα*] ἀφοῦ ξεκαθαρίσω, δηλ. σαφῶς ὁρίσω.—*ἀμφίλογος*] ἀμφισβητήσιμος. — *πράγματα*] ἐνοχλήσεις, σκοτούραις. — *προβουλεύειν*] προνοεῖν. —*ἡγεῖσθαι*]=προηγεῖσθαι.— *τοῦτο*] μετ' ἐμφάσεως ἐπαναλαμβάνει τὸ προβουλεύειν καὶ ἡγεῖσθαι.—*τῷ προτέρῳ γενομένῳ*] εἰς τὸν γεννηθέντα πρότερον, τὸν μεγαλείτερον.

§ 10. *ὅσον ἐν ἐμοί*] ἐνν. ἐστίν· ὅσον εἶναι εἰς τὸ χέρι μου, ὅσον ἐξαρ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*σοὶ δ', ὦ Ταναοξάρη, σατράπην εἶναι δίδωμι Μήδων τε καὶ Ἀρμενίων καὶ τρίτων Καδουσίων· ταῦτα δέ σοι διδοὺς νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνομα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμονίαν δὲ σοὶ ἀλυποτέραν. Οἶσθα μὲν οὖν καὶ σύ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ* 11
*χρυσοῦν σκῆπτρον τὸ τὴν βασιλείαν διασῷζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον. Καὶ πολῖταί τοι ἄνθρωποι ἀλλοδαπῶν οἰ-* 12
*κειότεροι καὶ σύσσιτοι ἀποσκήνων· οἱ δὲ ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς τραφέντες καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες καὶ ὑπὸ τῶν αὐτῶν γονέων ἀγαπώμενοι καὶ τὴν αὐτὴν μητέρα καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων οὗτοι οἰκειότατοι; Μὴ οὖν, ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ εἰς οἰκειότητα* 13
*ἀδελφοῖς, μάταιά ποτε ποιήσητε, ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα· καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα φιλία. Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι γὰρ ἄλλῳ ἀδελφὸς μέγας ὢν οὕτω καλόν, ὡς ἀδελφῷ; Τίς δ' ἄλλος τιμήσεται δι' ἄν-*

---

τᾶται ἀπὸ ἐμέ.—*σατράπην εἶναι*] νὰ ἦσαι σατράπης.—*ἀλυποτέραν*] ὀλιγώτερον λυπηράν, ὀλιγώτερον ἐνοχλητικήν.

§ 11. *χρυσοῦν σκῆπτρον*] χρυσῆ ῥάβδος, σύμβολον βασιλικῆς ἐξουσίας. - *σκῆπτρον . . . ἀσφαλέστατον*] στήριγμα ἀσφαλέστατον.

§ 12. *τοι*] τῷ ὄντι, βέβαια —*πολῖται*] συμπολῖται.—*καὶ σύσσιτοι ἀποσκήνων*] ἐνν. οἰκειότεροί εἰσιν· ὁμοῦ τρεφόμενοι ἄνθρωποι (σύντροφοι) εἶναι οἰκειότεροι ἀπὸ ἀνθρώπους μακρὰν κατοικοῦντας (μὴ συντρόφους). —*ἀπὸ τοῦ αὐτοῦ σπέρματος φύντες*] ἀπὸ τοῦ ἰδίου πατρὸς γεννηθέντες.

§ 13. *Μὴ οὖν., ποιήσητε*] ἀπαγόρευσις· ἰδὲ συντ. § 39, δ', 2.—*ἃ ἀγαθά*] τὰ ἀγαθά, τὰ ὁποῖα οἱ θεοὶ ὁδηγοῦντες τοὺς ἀδελφοὺς πρὸς οἰκειότητα ἔχουσι δώσῃ.—*ἐπὶ ταῦτα*] ἐπάνω εἰς ταῦτα τὰ ὑπὸ τῶν θεῶν δεδομένα, δηλ. τὰ φυσικά. - *οἰκοδομεῖτε*] μεταφορικῶς, προσθέτετε. — *ἀνυπέρβλητος ἄλλοις*] ἀδύνατον νὰ τὴν ὑπερβῶσιν ἄλλοι· ἰδὲ συντ. § 47, 1. —*τοι*] βέβαια.—*μέγας ὢν*] ὅταν ἦναι μέγας κατὰ τὸ ἀξίωμα. ὅπως λέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

14 δρα μέγα δυνάμενον οὕτως, ὡς ἀδελφός; Τίνα δὲ φοβή-
σεταί τις ἀδικεῖν ἀδελφοῦ μεγάλου ὄντος οὕτως, ὡς τὸν
15 ἀδελφόν; Μήτε οὖν θᾶττον μηδεὶς σοῦ τούτῳ ὑπακουέτω
μήτε προθυμότερον παρέστω. Ἀλλὰ πρὸς θεῶν πατρῴων,
ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ τοῦ ἐμοὶ χαρίζεσθαι
μέλει ὑμῖν· ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας καὶ πάντ' ἐφο-
ρῶντας καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων
τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον, καὶ ἀναμάρτητον
καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φο-
βούμενοι μήποτε ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιή-
16 σητε μήτε βουλεύσητε. Μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων
τὸ πᾶν γένος τὸ ἀεὶ ἐπιγιγνόμενον αἰδεῖσθε· οὐ γὰρ ἐν
σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ' ἐμφανῆ πᾶσιν
ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα. Καὶ τούτων μὲν ἴσως
17 ἤδη ἅλις. Τὸ δ' ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτήσω,
μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μήτε ἐν ἄλλῳ μη-

---

γομεν τώρα *μέγας καὶ πολύς*.—*οὕτω . . . ὡς*] τόσον . . ὅσον. — *καλόν*] συντ. § 3, 5.—*τιμήσεται*]=τιμηθήσεται.

§ 14. *σοῦ*] τοῦ Ταναοξάρου.—*τούτῳ*] τῷ Καμβύσῃ. – *παρέστω*] ἂς βοηθῇ.

§ 15. *πρὸς θεῶν*] ἐπὶ ὅρκου· ἐν ὀνόματι τῶν θεῶν.—*εἰ ...μέλει ὑμῖν*] ἐὰν σᾶς μέλῃ, ἐὰν θέλετε νά με εὐχαριστῆτε. – *γε*] τοὐλάχιστον. — *συνέχουσι*] συγκρατοῦσι, διατηροῦσι ταύτην τὴν τάξιν ὁλοκλήρου τοῦ κόσμου. —*ἀτριβῆ*] ἀβλαβῆ. – *ἀγήρατον*] ἀκμαίαν. *ἀναμάρτητον*] ἀλάνθαστον.—*ὑπὸ κάλους*] ἕνεκα ὡραιότητος, ὡς πρὸς ὡραιότητα.—*ἀδιήγητον*] ἀνέκφραστον. — *ἀσεβές*] ἐλλιπὲς σεβασμοῦ πρὸς τὰ θεῖα.—*ἀνόσιον*] ἄδικον πρὸς τὰ θεῖα.

§ 16. *τὸ ἐπιγιγνόμενον*] τὸ γινόμενον ἔπειτα, τὸ μεταγενέστερον.—*ζῆν*] νὰ ζῶσιν, δηλ. νὰ διατηρῶνται ἐν τῇ μνήμῃ.

§ 17. *ἅλις τούτων*] ἀρκετὰ εἶναι ταῦτα· τὸ ἅλις εἶναι ὑποκμ. συντασσόμενον μετὰ γεν. τούτων, ἥτις σημαίνει τὴν ὕλην.—*ἐν χρυσῷ*] ἐν χρυσῇ θήκῃ. — *ὡς τάχιστα*] ὅσον τὸ δυνατὸν τάχιστα· τὸ ὡς ἐπιτείνει τὸ ὑπερθετικὸν τάχιστα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

*δενί, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Ἀλλὰ γὰρ ἤδη,* 18
*ἔφη, ἐκλείπειν μοι φαίνεται ἡ ψυχή, ὅθενπερ, ὡς ἔοικε,*
*πᾶσιν ἄρχεται ἀπολείπουσα. Εἴ τις οὖν ὑμῶν ἢ δεξιᾶς*
*βούλεται τῆς ἐμῆς ἅψασθαι ἢ ὄμμα τοὐμὸν ζῶντος ἔτι*
*προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ' ἐγὼ ἐγκαλύψωμαι,*
*αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ' ἀνθρώπων τοὐμὸν*
*σῶμα ἰδέτω, μηδ' αὐτοὶ ὑμεῖς. Πέρσας μέντοι πάντας καὶ* 19
*τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν παρακαλεῖτε συνη-*
*σθησομένους ἐμοί, ὅτι ἐν τῷ ἀσφαλεῖ ἤδη ἔσομαι, ὡς μη-*
*δὲν ἂν ἔτι κακὸν παθεῖν, ὁπόσοι δ' ἂν ἔλθωσι, τούτους*
*εὖ ποιήσαντες, ὁπόσα ἐπ' ἀνδρὶ εὐδαίμονι νομίζεται ἀπο-*
*πέμπετε. Καὶ τοῦτο, ἔφη, μέμνησθέ μου τελευταῖον, τοὺς* 20
*φίλους εὐεργετοῦντες καὶ τοὺς ἐχθροὺς δυνήσεσθε κολά-*
*ζειν. Καὶ χαίρετε, ὦ φίλοι παῖδες, καὶ τῇ μητρὶ ἀπαγγέλ-*
*λετε ὡς παρ' ἐμοῦ· καὶ πάντες δὲ οἱ παρόντες καὶ οἱ ἀ-*
*πόντες φίλοι χαίρετε. Ταῦτ' εἰπὼν καὶ πάντας δεξιωσά-*
*μενος ἐνεκαλύψατο καὶ οὕτως ἐτελεύτησεν.*

---

§ 18. *ἀλλὰ γάρ*] ἀλλ' ὅμως.—*ὅθενπερ*] ἀπὸ ὅπου, δηλ. ἀπὸ τῶν ἄκρων, χειρῶν, ποδῶν, ὀφθαλμῶν.—*τοὐμὸν ζῶντος*] σχῆμα κατὰ σύνεσιν = τὸ ὄμμα ἐμοῦ ζῶντος.—*προσίτω*] προστακ. τοῦ προσέρχομαι· ἂς προσέλθῃ.—*ἐγκαλύψωμαι*] σκεπασθῶ, ὅπως συνήθιζον οἱ παλαιοί, ὅταν ἐπλησίαζεν ὁ θάνατος.—*μηδ' αὐτοὶ ὑμεῖς*] ἐνν. ἴδητε.

§ 19. *παρακαλεῖτε*] προσκαλεῖτε.—*συνησθησομένους*] μέλλων τοῦ σύνήδομαι· διὰ νὰ εὐχαριστηθῶσι μαζὶ μὲ ἐμέ, διὰ νὰ συγχαρῶσιν.—*ὡς*] = ὥστε.—*εὖ ποιήσαντες*] περιποιηθέντες, φιλοδωρήσαντες.—*νομίζεται*] θεωροῦντα νόμιμα, συνηθίζονται.—*ἐπ' ἀνδρί*] δι' ἄνδρα, πρὸς τιμὴν ἀνδρός.

§ 20. *καὶ τοῦτο*] τὸ ἑπόμενον.—*μου*] γεν. κτητικὴ τοῦ τοῦτο. — *τοὺς φίλους . . . κολάζειν*] ἐπεξήγησις τοῦ τοῦτο.—*ἀπαγγέλλετε*] ἐνν. χαίρειν.—*ὡς παρ' ἐμοῦ*] ἐκ μέρους μου.—*δεξιωσάμενος*] ἀποχαιρετίσας.—*ἐτελεύτησεν*] ἐνν. τὸν βίον.

---

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΤΥΠΟΓΡΑΦΙΚΩΝ ΠΟΡΟΡΑΜΑΤΩΝ ΔΙΟΡΘΩΣΙΣ

| ἐν σελίδι | στίχ. | γράφε |
|---|---|---|
| 8 | 13 ἄνωθ. | ἐδέξαντο |
| 9 | 2 κάτ. | τοῦ |
| 14 | 3 » | ἕκαστος |
| 21 | 11 » | βίᾳ |
| 27 | 3 » | ἅπτοιτο |
| 43 | 1 » | ἀπεδιδράκεσαν |
| 52 | 3 ἄνωθ. | ἀπολογήσασθαι |
| 85 | 1 κάτ. | βελτιόνων ὑπὸ |
| 86 | 1 » | ἐναντία |
| 86 | 6 » | παρανενομηκέναι |
| 89 | 4 ἄνωθ. | πολιτείᾳ |
| 93 | 12 » | Κριτίᾳ |
| 95 | 7 » | παιγνιῶδες |
| — | 17 » | ἄστεως |
| 105 | 5 » | ἐπεμέλοντο |
| 122 | 11 » | ἐπαιδεύθη |
| 125 | 5 » | εἰς οὐδὲν |
| — | 6 » | θίγῃς |
| — | 17 » | προθύμως |
| 131 | 10 » | οὕτω |
| 138 | 12 » | εἶναι |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5.000

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής